Templum S. Artemii Anastasius Dicorus titulo S. Joannis Præcursoris primum erexerat. Ubi ipse, cum Protoasecretis adhuc esset, habitavit. Postquam vero reliquiæ S. Artemii eo translatæ fuerunt, nomen ejus sancti templo impositum fuit. Præterea idem Anastasius ecclesiam S. Juliani condidit: quoniam puer cum parentibus suis Dyrrha-

A καὶ τρίκλινος ἦν ἐκεῖσε παραμυθήσαντος, καὶ ὅτι ἤθελον ποιῆσαι οἱ δήμαρχοι ἐκλογήν, ἐκεῖσε ἠθροίζοντο. διήρκεσε δὲ χρόνους πεντακοσίους. Θεοδώρας δὲ τῆς Αὐγούστης τοῦ Θεοφίλου ἐγκύου οὔσης, καὶ ἀπερχομένης διὰ τοῦ ἐμβόλου εἰς Βλαχέρνας, καὶ τοῦ ἵππου αὐτῆς ἐκεῖσε ὀλισθήσαντος ἔμπροσθεν τοῦ νάρθηκος τοῦ ναοῦ· πάλιν δὲ ὑποστρεφούσης εἰς τὸν αὐτὸν τόπον, τοῦ αὐτοῦ ὀλισθήσαντος ἵππου, δι' ἀποκαλύψεως ἐν ὁράματι παρεγγυησαμένη, ἀνήγειρε τὸν νῦν ὄντα ναὸν τῆς ἁγίας Ἄννης. 95.

Εἰς δὲ τὰ νῦν καλούμενα Μαυριανοῦ, οἶκος ἦν Μαυρικίου τοῦ Βασιλέως ἔτι ὄντος πατρικίου, καὶ κόμητος τῶν ἐξκουβιτόρων, μετὰ δὲ τὸ Βασιλεῦσαι ὠνομάσθη ὁ τόπος Μαυριανός.

B Τὸν δὲ θαυμαστὸν ναὸν τῆς ἁγίας Ἀναστάσεως, τὸν εἰς Μαυριανοῦ, Μαρκιανὸς ὁ ὅσιος ἤγειρεν ἐκ τῆς περιουσίας καὶ τοῦ πλούτου αὐτοῦ. τὸν δὲ αὐτὸν ναὸν θέλων κτίσαι πρῶτον εἰς τὰ ψηφᾶ (ἔνθα ψηφίδας ἔθος ἦν πωλεῖν) ὠνήσατο τὸν τόπον εἰς δύο χιλιάδας νομίσματα. διὰ τὸ ὑπομνήματα ἐκεῖσε εὑρεθῆναι τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου πρὸ ἐτῶν φʹ. γράφοντα οὕτως. Ἀνακαινισθήσεται ὁ ναὸς οὗτος εἰς κάλλος καὶ μέγεθος, δι' οἶδα, τὰ δὲ μοι λέγει τὸ πνεῦμα τὸ ἅγιον. πρῶτον γὰρ εὐκτήριον μικρὸν ἦν ἡ ἁγία Ἀνάστασις, καὶ ξυλότρουλλος. ὁ δὲ Βασίλειος ὁ Μακεδὼν ἐσκέπασεν αὐτὴν δι' ὀρόφου χρυσοῦ. ἀλλὰ καὶ τῆς ἁγίας Εἰρήνης τὸ πέραμα, ὁ αὐτὸς Μαρκιανὸς ἔκτισε καὶ ἐτελείωσεν, εἰδωλεῖον πρώην ὑπάρχουσαν. C Ὡσαύτως δὲ καὶ τὸ νοσοκομεῖον.

Τὸν δὲ ἅγιον Θεόδωρον τὰ καρβουνάρια, Ἱλαρίων τις πατρίκιος ἐν τοῖς χρόνοις τοῦ Λεωμακέλλη ἀνήγειρε. 96.

Ὁ ναὸς τῶν ἁγίων τεσσαράκοντα, πραιτώριον ἐτύγχανε. Τιβέριος δὲ ὁ Θρᾷξ σὺν τῇ γυναικὶ αὐτοῦ Ἀναστασίᾳ τοὺς δεσμίους ἐξαγαγών, καὶ τὸν τόπον ἀνακαθάρας, ἐθεμελίωσε τὸν ναὸν τῶν ἁγίων τεσσαράκοντα, καὶ ἐξέβαλε τὰ τείχη μέχρι πηχῶν τεσσάρων. τελευτήσαντος δὲ αὐτοῦ, Μαυρίκιος γαμβρὸς αὐτοῦ κρατήσας, ἀνεπλήρωσε τὸν ναὸν καὶ ἐθρόνισεν αὐτόν.

Τὸν ἅγιον Παῦλον τὸ Ὀρφανοτροφεῖον Ἰουστῖνος καὶ Σοφία ἀνήγειραν οἱ ἀείμνηστοι. Ὡσαύτως δὲ καὶ τὸν ὅσιον Ζωτικόν, καὶ ἐτύπωσαν ἀναπαύεσθαι τοὺς λωβοὺς ἐ- D κεῖσε καὶ σιτηρέσιον λαμβάνειν.

Ἐπὶ Κωνσταντίου τοῦ υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου, Ζωτικὸς πατρίκιος καὶ πρωτοβεστιάριος κτίζει τοῖς ἐν Κυρίῳ ἀδελφοῖς κατοικίας, τροφὰς αὐτάρκεις αὐτοῖς ἐπιχορηγήσας καὶ ἄμφια. διὸ καὶ παρὰ τοῦ Κωνσταντίου ἡμιόνοις ἀγρίοις προσδεθείς, κέντροις πληττόμενος καὶ βιαζόμενος τρέχειν, τέλει τοῦ βίου ἐχρήσατο.

Τὰ Καρπιανοῦ τῆς Θεοτόκου ἀνήγειρε Καρπιανὸς πατρίκιος ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ Πωγωνάτου. τὰ δὲ Βάσσου ἀνήγειρε Βάσσος πατρίκιος ἐπὶ τῆς Βασιλείας Ἰουστινιανοῦ τοῦ μεγάλου, ἔχων αὐτοῦ καὶ τὸν ἴδιον οἶκον· οὗ τινος εἰς ἔχθραν ἐλθοῦσα Θεοδώρα ἡ γυνὴ τοῦ Ἰουστινιανοῦ, ἔσφιξε τὴν κεφαλὴν αὐτοῦ μετὰ E χορδὰς, καὶ ἔπνιξεν αὐτόν.

Τὸν ἅγιον Ἀρτέμιον Ἀναστάσιος ὁ Δίκορος εἰς ὄνομα τοῦ Προδρόμου πρότερον ἀνήγειρε· ἔτι δὲ πρωτασηκρῆτις ὤν, ἐκεῖσε κατῴκει. μετὰ δὲ τὸ κομισθῆναι εἰς αὐτὸν τὸ λείψανον τοῦ ἁγίου Ἀρτεμίου ὠνομάσθη ὁ ναὸς τῷ ὀνόματι τοῦ ἁγίου. ὡσαύτως δὲ καὶ τὸν ναὸν τοῦ ἁγίου Ἰουλιανοῦ ὁ αὐτὸς Ἀναστάσιος ἀνήγειρεν, ὅτι ὅταν ἦλθε μετὰ τῶν γονέων αὐτοῦ 97.

ἀπὸ τοῦ Δυῤῥαχίου, ὅτι πάϊς τυγχάνων ἐκεῖσε ἐμάνθανε A τὴν γραμματικήν.

Ὁ δὲ ἅγιος Προκόπιος τὸ Κονδύλιον, ἐκλήθη οὕτω, διὰ τὸ Κωνσταντῖνον τὸν πατέρα Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου κονδυλίσαι ἐκεῖσε τὸν ἵππον αὐτοῦ καὶ ῥίψαι αὐτόν.

Ὁ ἅγιος Ἰωάννης ὁ πρόδρομος τὰ λεγόμενα Κινθήλια, ἀπὸ τοῦ κάμνειν ἐκεῖσε τὰ μικρὰ καρφία τὰ βασιλικὰ, οὕτως ἐκλήθη. καὶ γὰρ τὰ τοιαῦτα καρφία λέγεται κινθήλια.

Ὁ Ἀναστάσιος μετὰ Ἀριάδνης ἔκτισε τὸν ναὸν τὸν ὄντα εἰς Κωνσταντιανὰς τῶν ἁγίων μ΄. ἀνήγειρε καὶ ναὸν ἕτερον ἐπ᾽ ὀνόματι τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου, ἔνθα καὶ τὸ ἅγιον αὐτοῦ λείψανον ἐτέθη.

Τὸν ἅγιον Πολύευκτον Ἰουλιανὴ ἡ θυγάτηρ Οὐαλεντινιανοῦ τοῦ κτίστορος τοῦ ἀγωγοῦ, ἔκτισεν ἐπὶ χρόνους τέσσαρας καὶ ἥμισυ, τῶν τεχνιτῶν ἀπὸ Ῥώμης ἐλθόντων. γυναικαδέλφη δὲ ἦν ἡ τοιαύτη τοῦ Μεγάλου Θεοδοσίου.

Τὰ δὲ Μεγεθίας ἀνήγειρε Μεγέθια δέσποινα ἐν τοῖς χρόνοις Τιβερίου τοῦ Θρᾳκός.

98. Ἡ ὑπεραγία Θεοτόκος ἡ Πονολύτρα, οὕτως ἐκλήθη, ὅτι μεγάλαι ἰάσεις ἐκεῖσε ἐπλουτοῦντο, καὶ πόνοι πολλοὶ ἐλύοντο.

Τὰ Ἀρεοβίνδου τὴν ἁγίαν Θεοτόκον ἀνήγειρε Πέτρος μάγιστρος καὶ Κουροπαλάτης, ὁ αὐτάδελφος Μαυρικίου τοῦ Βασιλέως· διὰ δὲ τὸ εἶναι τὸν οἶκον Ἀρεοβίνδου ἐκεῖσε ἐκλήθη οὕτω. μετὰ δὲ ἐνενήκοντα δύο χρόνους ἐπὶ Ἰουστίνου τοῦ C Θρᾳκὸς ἐκτίσθη τὸ καὶ λοῦμα·

Τὴν ἁγίαν Εὐφημίαν τὰ Ὀλυβρίου, ἡ θεοφιλὴς Εὐδοξία κτίζειν ἀπήρξατο, καὶ ὕψωσεν ἀπὸ γῆς τὸ θεμέλιον μέχρι πηχῶν δύο. πικρῷ δὲ θανάτῳ ἁρπαγείσης, ἀνεπληρώθη παρὰ Ὀλυβρίου μαγίστρου τῶν Ῥωμαίων, ἐκεῖσε τὸν αὐτοῦ οἶκον ἔχοντος. ἐκόσμησε δὲ αὐτὴν διὰ πολυτελῶν μαρμάρων καὶ κτήμασι δέδωκε πολλὰ καὶ ἱερὰ σκεύη.

Τὰ δὲ Ἀρματίου οἶκος ἦν Ἀρματίου μαγίστρου τοῦ οἰκείου ἀνθρώπου Ζήνωνος, ὃς καὶ προέδωκε τὸν στρατὸν, ἀντάραντος Βασιλίσκου κατὰ Ζήνωνος· ὑπὲρ οὗ καὶ ἀνῃρέθη προστάξει τοῦ Ζήνωνος, ἀνερχόμενος τὸν κοχλίαν, τὸν ἀνάγοντα εἰς τὸ κάθισμα τοῦ ἱπποδρομίου. D

Τὰ δὲ λεγόμενα Πράσινα, διὰ τὸ εἶναι τοὺς σταύλους τῶν Πρασίνων, οὕτως ἐκλήθη.

Τὸ δὲ γηροκομεῖον ἀνήγειρε Μαρκιανὸς καὶ Πουλχερία. Ἀρτάβασδος δὲ ὁ Βασιλεὺς ὁ γαμβρὸς Κωνσταντίνου τοῦ

99. Καβαλλίνου, ὅστις ἐπιβουλεύσας αὐτῷ, καὶ ἐκράτησε τῆς Βασιλείας χρόνους τρεῖς, ἐτυφλώθη δὲ παρὰ τοῦ Κωνσταντίνου, νικήσαντος αὐτὸν, καὶ τῆς Βασιλείας πάλιν κρατήσαντος. οὗτος ἀκίνητα πολλὰ κτήματα ἐπεκύρωσε τῷ ῥηθέντι γηροκομείῳ, διότι οἶκος αὐτοῦ ἐκεῖσε ἦν. μετὰ δὲ σπ΄. ἔτη τῆς κτίσεως τοῦ γηροκομείου ἦν ὁ Ἀρτάβασδος.

Τὰς δὲ κριοὺς τὴν κινστέρναν, καὶ τὸ γηροκομεῖον, καὶ τὸ λοῦμα τὸ ὂν εἰς τὰ Ἀρματίου, ἔκτισε Στέφανος παρακοιμώμενος Μαυρικίου τοῦ βασιλέως, μετὰ δώδεκα χρόνους τῆς E Βασιλείας αὐτοῦ.

Τὸ δὲ καλούμενον Ζεῦγμα κατὰ τρόπον τοιοῦτον ἐκλήθη. τοῦ λειψάνου τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου ἀνακομισθέντος, καὶ μέχρι τοῦδε τοῦ τόπου ἀχθέντος, ἐκεῖσε ἐζεύχθησαν μοῦλαι καὶ ἦραν αὐτὸ, καὶ ἤγαγον μέχρι τῶν Κωνσταντιανῶν.

Οἱ δὲ ἅγιοι ἀνάργυροι, οἱ ἐν τῷ Ζεύγματι, παρὰ

A chio veniens, Grammaticam ibi didicerat.

Ecclesia S. Procopii cognominata Condulium inde nomen accepit, quod Constantinus Justiniani Rhinotmeti pater in eo loco equum suum pugnis instigans præcipitaverit.

Templum S. Joannis Præcursoris cognominatum Cinthelia ita appellatum est, quod ibi parvi clavi affigendis equorum soleis cuderentur. Ejusmodi enim clavi vocantur cinthelia.

Templum SS. quadraginta, quod est apud Thermas Constantianas, Anastasius cum Ariadna condidit. Idem aliud quoque titulo Protomartyris Stephani ædificavit, ubi sanctæ ejus reliquiæ positæ sunt.

B S. Polyeuctum Juliana Valentiniani filia exstruxit intra quatuor annos cum dimidio, evocatis Roma architectis. Fuit autem hæc Juliana soror uxoris magni Theodosii.

Ædificium Megethiæ eastruxit domina Megethia tempore Tiberii Thracis.

Ecclesia S. Deiparæ Ponolytræ ita cognominata est, quod magna isthic sanationum dona fierent, multique dolores & languores solverentur.

Ecclesiam S. Deiparæ cognominatam Areobindi Petrus Magister & Curopalata, Germanus frater Mauricii Imperatoris condidit: Sed quod Areobindi domus ibi esset, inde ecclesia ita appellata fuit.
C Balneum vero ejusdem loci annis nonaginta duobus post sub Justino Thrace extructum est.

S. Euphemiam dictam Olybrii Deo exosa Eudoxia condere incœpit, & fundamentum ad altitudinem duorum cubitorum supra terram perduxit. Postquam autem illa acerba morte sublata fuit, magister quidam Olybrius, Romanus ibi habitans structuram absolvit, multisque pretiosis marmoribus exornavit, & fundis sacrisque vasis ditavit. *Edit. Paris. pag. 47.*

Locus vocatus Harmatii domus erat Harmatii Magistri, qui domesticus fuit Zenonis, & Basilisci exercitum ei prodidit. Quare ipsum Zenonis jusso interemptus est, eam per testudinem ascenderet
D ad tribunal Hippodromi.

Prasina autem eo quod Prasinæ factionis stabula essent, sic appellantur.

Gerocomium a Marciano & Pulcheria conditum est. Artabasdus autem Imperator, qui adversus Constantinum Caballinum insurgens, tres annos Imperium obtinuit, & postea ab eo debellatus, oculisque privatus fuit, is multas immobiles possessiones supradicto Gerocomio confirmavit, eo quod domus ejus ibi sita esset. Cæterum vixit Artabasdus annis ducentis & octuaginta post conditum Gerocomium.

Cisternam cognomine arietariam, & Gerocomium, & balneum, quod est in loco dicto Harmatij, eastruxit Stephanus accubitor Mauricii Imperatoris duodecim
E annis post ejus Imperium.

Locus appellatus Zeugma ea eo nomen habet, quod reliquiis S. Protomartyris Stephani in urbem allatis usque ad hunc locum deductis, mulæ ibi currui junctæ sunt, quæ eas porro ad thermas Constantianas vexerunt.

Templum SS. Anargyrorum, sive Cosmæ & Damiani, in Zeugmate situm, ædificavit sub Theodosio juniore

Proclus Patriarcha Constantinopolitanus, discipulus S. Joannis Chrysostomi.

Templum S. Eliæ, quod Petrion dicitur, legiones totusque exercitus Zenonis ea Perside redux collata magna auri summa, accedente etiam ipsius Zenonis & Ariadnæ auxilio extruxerunt, quibus ille in castris apparuerat.

S. Euphemiam cognomine Petræam, Anastasius Dicorus & uxor ejus Ariadna ædificarunt.

Gerocomium Geragathæ condidit Agatha Petri Patricii filia, fœmina longe pulcherrima. Propterea autem Geragatha nominata fuit, quoniam virginitatem suam usque ad senectutem illibatam servavit. Hanc tandem Constantinus Copronymus violavit, & maximis ditavit opibus. Quare cum celebrarentur ludi circenses acclamavit ei populus: Agatham jam vetulam tu renovasti. Cæterum ipsa clanculum colebat sanctas imagines. Absoluto autem Gerocomio impius ille Copronymus omnes collegit imagines, easque in loco combussit.

Edit. Paris. pag. 48.

Ecclesia S. Juliani nominata Perdix, & qui eam inhabitabant sancti & venerandi monachi, assentiri nolentes detestabili sectæ Constantini Copronymi, ab eo simul combusti fuerunt; & plumbum templi calore dissolutum ad litus Sophianum defluxit. Cognomen vero Perdicis ei dedit Perdix ærea in uno ejus arcu ab ipso olim Constantino magno posita.

In loco, qui vocatur Antiochi, domus erat Antiochi Patricii & Præpositi, qui bajulus fuit Theodosii junioris, filii Arcadii Imperatoris: & multos sub ipso magistratus gessit. Hic licet valde dives fuerit, attamen obiit pauper, propterea quod injustus esset & damnosus & fraudulentus.

Templa SS. Esaiæ & Laurentii ab Imperatore Marciano & ejus uxore Pulcheria ædificata fuerunt: quorum tempore sanctum corpus Esaiæ Prophetæ Hierosolyma allatum fuit.

In loco, qui vocatur Dexiocratia, domus erat Patricii ita nominati, qui vixit sub Theodosio juniore, & ibi templum atque Gerocomium exstruxit.

Templum & Gerocomium, quæ vocantur Cariana, una cum porticu Mauricius Imperator condidit. Quia vero antea ibi domus erat Cariani Patricii, locus inde cognomentum accepit.

Magnam Ecclesiam Blachernarum Marcianus & Pulcheria ædificarunt, variisque & pretiosis marmoribus exornarunt. Blachernæ autem dictæ sunt, vel quasi Blachernæ, quod locus filicibus esset consitus: vel quasi Lacernæ, quod locus esset lacunosus & abundaret aquis, vel ob Ulachi cujusdam cædem.

Ecclesiam S. Deiparæ, quæ nuncupatur Conditorium sacrum, exstruxit Leo Macelas; ubi sacram illam arcam collocavit, in qua divina vestis S. Matris Dei reposita erat. Idem quoque balneum ibi ædificavit, multasque possessiones & aurea argenteaque vasa & cimelia ei largitus est. Hoc templum olim extra portam erat: postea vero Heraclius muro illud circumdedit, eo quod multa ibi fierent miracula, & plurimi a morbis liberarentur.

Chrysobalandum sive Auricrumena domus erat Nicolai Patricii & Dome-

A Πρόκλου πατριάρχου Κωνσταντινουπόλεως, μαθητοῦ τοῦ Χρυσοστόμου ἐκτίσθησαν ἐν τοῖς χρόνοις Θεοδοσίου τοῦ μικροῦ.

Τὸν ἅγιον Ἠλίαν τὸ Πέτριον· ὑποστρέψαντος Ζήνωνος ἐκ Περσίδος, συνέδωκαν τὰ τάγματα αὐτοῦ καὶ ὁ στρατὸς χρυσίον πολύ, καὶ αὐτὸς ὁ Βασιλεὺς ἔδωκεν αὐτοῖς συνδρομήν, 100.
μετὰ τῆς Ἀριάδνης ὁμοίως, καὶ ἀνήγειρε τὸν ναόν, ὅτι ἐνεφανίσθη αὐτῷ ἐν τῷ πεζοδίῳ.

Τὴν δὲ ἁγίαν Εὐφημίαν τὴν Πέτρας, Ἀναστάσιος ὁ Δίκορος καὶ ἡ Ἀριάδνη ἀνήγειραν.

Τὸ Γηραγάθης τὸ γηροκομεῖον, Πέτρου πατρικίου θυγάτηρ ἔκτισεν ὄνομα Ἀγάθα, ὡραιοτάτη οὖσα πάνυ. ἐκλήθη δὲ Γηραγάθη, διὰ τὸ φυλάττειν τὴν παρθενίαν αὐτῆς B μέχρι γήρατος. ὕστερον δὲ διέφθειρεν αὐτὴν ὁ Κοπρώνυμος δοὺς αὐτῇ πλοῦτον πολύν. ἱππικοῦ δὲ ἀγομένου ἔκραξεν ὁ δῆμος· Τὴν Ἀγάθην ἐγήρασε, σὺ δὲ αὐτὴν ἀνενέωσας. ἦν δὲ ἐν τῷ κρυπτῷ σεβομένη τὰς ἁγίας εἰκόνας. πληρωθέντος δὲ τοῦ γηροκομείου ὁ θεοστυγὴς Κοπρώνυμος ἀθροίσας τὰς εἰκόνας κατέκαυσεν ἐκεῖ.

Ὁ δὲ ἅγιος Ἰουλιανὸς ὁ καλούμενος Πέρδιξ, καὶ οἱ καθήμενοι ἐκεῖσε μοναχοί, σεβάσμιοι ὄντες καὶ ὅσιοι, διὰ τὸ μὴ κοινωνεῖν τῆς μυσαρᾶς θρησκείας τοῦ Κοπρωνύμου, κατεκαύθησαν παρ' αὐτοῦ ἅμα τῷ ναῷ. ὁ δὲ μόλιβδος ἀναλύσας κατῆλθε μέχρι τοῦ αἰγιαλοῦ τῶν Σοφιῶν. ἐκλήθη δὲ Πέρδιξ, ὅτι ἵστατο Πέρδιξ χαλκοῦς εἰς μίαν τῶν καμάρων, σταλωθεὶς παρὰ τοῦ μεγάλου Κωνσταντίνου.

C Τὰ δὲ καλούμενα Ἀντιόχου, οἶκος ἦν Ἀντιόχου τοῦ πατρικίου καὶ πραιποσίτου, καὶ βαΐουλου Ἀρκαδίου τοῦ Βασιλέως, πολλὰς ἐπ' αὐτοῦ ἀρχὰς διανύσαντος. πλούσιος δὲ γενόμενος σφόδρα, πένης ἐτελεύτησε, διὰ τὸ ἄδικον καὶ ἐπιβαρῆ γενέσθαι καὶ δόλιον.

Ὁ δὲ ἅγιος Ἡσαΐας, καὶ ὁ ἅγιος Λαυρέντιος ἐκτίσθησαν παρὰ Μαρκιανοῦ καὶ Πουλχερίας τῶν ἀοιδίμων βασιλέων, ὅτε ἤχθη καὶ τὸ ἅγιον σῶμα Ἡσαΐου τοῦ προφήτου ἀπὸ Ἱερουσαλήμ.

Τὰ δὲ καλούμενα Δεξιοκράτους, οἶκος ἦν πατρικίου 101.
οὕτω καλουμένου ἐν τοῖς χρόνοις Θεοδοσίου τοῦ μικροῦ, ἐν ᾧ ναὸν καὶ γηροκομεῖον ἐδείματο.

Τὰ Καριανοῦ, καὶ τὸν ναόν, καὶ τὸ γηροκομεῖον, Μαυ- D ρίκιος ὁ Βασιλεὺς σὺν τῷ ἐμβόλῳ ἀνήγειρεν. οἶκος δὲ ἦν πρότερον ἐκεῖσε Καριανοῦ πατρικίου, ἐξ οὗ καὶ προσηγορεύθη ὁ τόπος.

Τὸν ναὸν τὸν μέγαν τῶν Βλαχερνῶν, Μαρκιανὸς καὶ Πουλχερία ἀνήγειραν κοσμήσαντες αὐτὸν διὰ πολυτελῶν μαρμάρων καὶ ποικίλων. Βλαχέρναι δὲ ἐκλήθη τοιῷδε τρόπῳ, ἢ ὅτι βλάχνα ἦσαν ἐν αὐτῷ τῷ τόπῳ καὶ ἐκόπασαν, καὶ οὕτως ἐκτίσθη ὁ ναός. ἢ ἐκλήθη Λακέρνα, καὶ Βλαχέρνα, ὅτι λακκώδης ἦν ὁ τόπος, καὶ διὰ τὸ εἶναι ἐν αὐτῷ πολλὰ ὕδατα, ἢ ὅτι Βλάχου τινὸς κέρμα ἦν ἐκεῖσε.

Τὴν ἁγίαν σορόν, τὸν ναὸν τῆς Θεοτόκου ἀνήγειρε
Λέων ὁ Μακέλλης, ἔνθα κατετίθετο τὴν ἱερὰν σορόν, ἐν ᾗ 102.
ἡ θεία ἐσθὴς τῆς Θεομήτορος ἐναπέκειτο. ἐκεῖσε πολ-
E λαὶ χάριτες καὶ θαύματα γέγονεν. οὗτος ἔκτισε καὶ τὸ λοῦμα καὶ ἐπεκύρωσε κτήματα πολλά, καὶ σκεύη, καὶ κειμήλια χρυσᾶ τε, καὶ ἀργυρᾶ. ἔξω δὲ τῆς πόρτης ἐτύγχανεν· ὑπὸ δὲ Ἡρακλείου περιεκλείσθη, πολλῶν γενομένων θαυμάτων καὶ ἰάσεων ἐν αὐτῷ.

Τὸ Χρυσοβαλάντιον οἶκος ἦν Νικολάου πατρικίου καὶ δομεστίκου τῆς ἀνατολῆς, ὃν ἀνήγειρεν εἰς ναοὺς δύο τοῦ Ἀρχιστρατήγου καὶ τῆς ἁγίας Παντελεή-

μενος· διὰ δὲ τρόπον τοιοῦτον ἐνήγειρεν αὐτούς. τοῦ ῥηθέντος δομεστίκου ἐν τῷ ταξειδίῳ χρονίζοντος, ἐμοιχεύετο ἡ γυνὴ αὐτοῦ. εἶτα ὑποστρέψας ἐν τῇ πόλει, καὶ φωράσας τὸ δρώμενον μῦσος, συλλαβὼν ἀμφοτέρους μεληδὸν κατέκοψε. ὕστερον δὲ εἰς ἔννοιαν ἐλθὼν τοῦ φοβεροῦ κριτηρίου, ἀνήγειρε τοὺς δύο ναούς. περὶ δὲ τὸ τέλος ἐλθὼν τῶν κτισμάτων, καὶ ἀδημονῶν, διὰ τὸ μὴ ἔχειν χρυσίον, ὤφθη αὐτῷ κατ' ὄναρ ὁ Ἀρχάγγελος λέγων· ἄπελθε εἰς τόνδε τὸν τόπον, πλησίον τῆς τοῦ Ἄσπαρος κινστέρνης, καὶ εὑρήσεις βαλάντιον, χρυσίου λίτρας ἔχον ἑκατόν. ὁ δὲ ἀπελθὼν καὶ εὑρὼν αὐτὸ, ἀνεπλήρωσε τοὺς ναοὺς καὶ ἐκάλεσε τὸν τόπον, καθὰ γράφομεν, χρυσοβάλανδον.

103. Ἡ μονὴ τῆς ἁγίας Εὐφροσύνης, ἥτις λέγεται τὰ Λιβάδια, ἐκτίσθη παρὰ Εἰρήνης τῆς Ἀθηναίας μικρὰ καὶ πενιχρά. ὁ δὲ Μιχαὴλ υἱὸς Θεοφίλου τοῦ Βασιλέως εἰς ἔχθραν ἐλθὼν μετὰ Θεοδώρας τῆς ὀρθοδόξου, τῆς μητρὸς αὐτοῦ, καὶ τῶν ἀδελφῶν, κατεβίβασεν αὐτὰς ἀπὸ τοῦ παλατίου, καὶ εἰσήγαγεν εἰς τὴν τοιαύτην μονὴν, καὶ μεγαλύνας, καὶ κτήματα πολλὰ δωρησάμενος. ἐκλήθη δὲ Εὐφροσύνης ἀπὸ μιᾶς τῶν ἀδελφῶν αὐτοῦ Εὐφροσύνης τοὔνομα, καλῶς βιωσάσης καὶ ἀσκησάσης.

Εἰς τὸ λεγόμενον Δεύτερον, ἐν τῷ κίονι ἵστατο στήλη Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου. ταύτην δὲ κατεβίβασε Βάρδας Καῖσαρ, ὁ θεῖος Μιχαὴλ τοῦ υἱοῦ Θεοφίλου, καὶ συνέτριψεν. ἐκλήθη δὲ ὁ τόπος τὸ Δεύτερον κατὰ τρόπον τοιόνδε. Λεοντίου πατρικίου καταδυναστεύσαντος καὶ κρατήσαντος, ἐξόριστον ἔπεμψε τὸν Ἰουστινιανὸν εἰς Χερσῶνα, ὅστις ἐποίησεν ἐκεῖ χρόνους δέκα. φυγῇ δὲ μετὰ ταῦτα χρησάμενος, ἦλθεν εἰς Τέρβελιν τὸν ἀρχηγὸν τῶν Βουλγάρων, καὶ ἠγάγετο τὴν θυγατέρα αὐτοῦ εἰς γυναῖκα Θεοδώραν τοὔνομα. ἔλαβε καὶ στρατὸν παρ' αὐτοῦ, ἄνδρας πολεμιστὰς χιλιάδας ιε'. καὶ ἐστράτευσε κατὰ τῆς πόλεως, ζητῶν τὴν οἰκείαν ἀρχήν. μὴ δεχθεὶς δὲ παρὰ τῶν πολι-
104. τῶν, ὑποστρέψας πρὸς τὴν παλαιὰν καλουμένην πόρταν, καὶ εἰσῆλθε διὰ τοῦ ἀγωγοῦ, καὶ ἐξῆλθεν εἰς τὸν τόπον, οὗ ἵσταται ὁ κίων. αὐτόθι γὰρ εἶχε τὴν διαπνοὴν ὁ ἀγωγὸς, καὶ δεύτερον βασιλεύσας τὴν ἰδίαν ἀρχὴν, τὴν στήλην ἑαυτοῦ ἔθετο ἐπὶ τοῦ κίονος, καὶ ἐκάλεσε τὸν τόπον Δεύτερον. ἀνήγειρε δὲ καὶ τὸν ναὸν τῆς ἁγίας Ἄννης, διὰ τὸ εἶναι τὴν γυναῖκα αὐτοῦ ἔγκυον, καὶ ἐπιστηθῆναι παρὰ τῆς ἁγίας, εἰς τὸν τοιοῦτον τόπον κτίσαι αὐτῇ ναόν. ἀλλὰ καὶ τὸ ἅγιον αὐτῆς σῶμα καὶ τὸ ὠμοφόριον ἐπὶ τούτω ἦκε.

Τὸ δὲ Ξηροκήπιον ὁ ἅγιος Γρηγόριος, ἐκτίσθη παρά τινος πατρικίου ἐν τοῖς χρόνοις τοῦ μεγάλου Θεοδοσίου.

Τὸν ἅγιον Ῥωμανὸν ἡ ἁγία Ἑλένη ἔκτισε, καὶ πλησίον αὐτοῦ τὴν ἁγίαν σορὸν καὶ τὸ λείψανον κατέθετο τοῦ προφήτου Δανιὴλ, καὶ τοῦ μεγάλου μάρτυρος Νικήτα, καὶ ἑτέρων πολλῶν προφητῶν λείψανα, ἅπερ ἤγαγεν ἀπὸ Ἱερουσαλὴμ, ἀπελθοῦσα εἰς ψηλάφησιν τοῦ τιμίου σταυροῦ. λέγεται δὲ, ὅτι οἱ ποιηταὶ τῶν κανόνων ὁ ἅγιος Ἰωσὴφ καὶ Θεόδωρος ὁ ἀδελφὸς αὐτοῦ ὁ Στουδίτης, διὰ τὸν φόβον φυγόντες τοῦ Συρογενοῦς Λέοντος τοῦ εἰκονοκαύ-
105. σου, ἐκεῖσε ἐκάθηντο καὶ ἐποίουν τοὺς κανόνας. πεντακόσια δὲ ἔτη διῆλθον, ἀφ' οὗ ἐκτίσθη ὁ ναὸς, μέχρι τῆς τῶν ῥηθέντων ποιητῶν κατοικίας.

Ἀλλὰ καὶ τὴν μονὴν τῶν ἁγίων Κάρπου καὶ Παπύλου,

A sticî Orientalium, quam ille mutuvit in duo templa S. Archangeli Michaelis & S. Pantelemonis, ob hanc causam. Uxor supradicti Domestici, marito in castris commorante, ab alio quodam adultera- *Edit. Paris. pag. 49.*
batur. Qua de re ipse certior factus, improviso in urbem rediit, & ambos simul deprehensos articulatim consecuit. Postea autem recordatione & metu extremi judicii, duo hæc templa condidit. Cum vero absoluta jam fere structura, defectu pecuniæ plurimum angeretur, apparuit ei in somno Archangelus dicens: Abi ad illum locum vicinum Asparis Cisternæ, & invenies crumenam centum auri libras continentem. Domesticus igitur eo accedens, crumenam invenit & consummata templorum structura, locum, ut B antea diximus, nominavit Chrysobalandum.

Monasterium S. Euphrosynæ cognominatum Libadia, primum ab Irene Atheniensi exiguum valde & paupertinum conditum fuit: postea autem ubi Michael Theophili filius cum Theodora matre & sororibus suis simultatem habere cœpit, e Palatio illas in hoc Monasterium detrusit, quod ampliatum multis possessionibus ditavit. Cæterum ab una Euphrosyna, quæ bene & religiose vivebat, ita cognominatum est hoc Monasterium.

In loco nuncupato Deutero sive Secundo stabat Justiniani Rhinotmeti statua, quam postea Bardas Cæsar Patruus C Michaelis filii Theophili dejectam confregit. Appellatus autem est locus Deuteron ob hanc causam. Justinianus Rhinotmetus a Leontio Patricio rerum potiente exul in Chersonem relegatus fuit, ubi cum decem mansisset annos, profugit tandem ad Terbelim Bulgarorum Principem, qui filiam suam Theodoram ipsi in uxorem dedit, & insuper exercitum quindecim militum millia subministravit. Hunc ille contra Constantinopolim duxit ad repetendum Imperium suum. Cum vero cives eum recipere nollent, simulata fuga, apud portam urbis quam vocant antiquam, clanculum per aquæductum in urbem introrupit, eo loco, ubi nunc columna superest, quod ibi aquæ ductus spiraculum D esset. Ita secundum adeptus Imperium, statuam suam illic erexit, & locum vocavit Deuteron sive Secundum. Ibidem quoque templum S. Annæ ædificavit, quod uxorem ejus gravidam per visum monuit, ut in eo loco templum sibi conderet. Quo postea etiam functum ejus corpus una cum ejus humerali translatum fuit.

Templum S. Gregorii, quod cognominatur Xerocepium, exstruxit quidam Patricius sub Theodosio majore.

Ecclesiam S. Romani B. Helena ædificavit, & prope eam deposuit capsam cum reliquiis Prophetæ Danielis, & magni Martyris Nicetæ, vel & aliorum- *pag. 50.*
que prophetarum reliquias, quas Hiero- E solyma secum attulit. In hac Ecclesia ferunt canonum auctores S. Josephum & fratrem ejus Theodorum Studitam metu Leonis Armenii Iconomachi profugos latuisse, & canones composuisse. Ex quo autem Ecclesia illa condita fuit usque donec supradicti poetæ ibi habitarunt, præterierant anni quingenti.

Præterea etiam ædificavit S. Helena

Monasterium SS. Carpi & Babylæ ad imitationem sepulchri Christi, ex vario & admirando marmore, multisque possessionibus ditavit.

Cisternam Boni Bonus magister condidit, domesticus Heraclii Imperatoris; cui etiam Imperator adversus Persas profecturus custodiam urbis & vices suas demandavit.

Cisternam Mocensem Anastasius Dicorus exstruxit, cum tanta in urbe aquæ & frumenti esset inopia ut unus modius integro nummo veniret. Nomen vero hæc cisterna habet a vicino templo S. Mocii.

Locus nuncupatus Porphyropolium antiquitus vestibus purpureis tingendis destinatus erat.

B Hospitale nominatum Sampsonis condidit S. Sampson auxilio Justiniani magni, quem ille a morbo liberavit.

In loco appellato Eubuli domus erat Eubuli Patricii, ab ipso exstructa tempore Justini Thracis.

Ædificium dictum Isidori B. Isidorus Eubuli frater condidit.

Templum S. Tryphonis, quod prope Eubuli est, Justinianus magnus ædificavit: alterum vero, quod est in loco nuncupato Basilisci, Justinus & Sophia condiderunt.

In loco vocato Basilisci domus erat Basilisci Patricii & Drungarii, quam Imperio potitus in amœnissimum Palatium mutavit: quo vetustate abolito, locus cognomentum retinet.

C Antiquum Palatium Sophianum Mauricius ædificavit nomine Anastasiæ uxoris Tiberii socrus suæ. Post annos autem viginti & octo Heraclius, antequam imperaret, ibi habitavit, plurimum enim illo loco delectabatur; & ferunt, ibidem ei revelatum fuisse, fore ut aliquando imperio præesset.

Palatium, quod est supra murum & vocatur Bucoleonis, junior Theodosius condidit; Justinianus autem Triclinium exstruxit, quod ab eo nomen habet. Item ædificavit Triclinium aureum & Lausiacum.

Edit. Paris. pag. 51. Palatia Hippodromi & Quæstoris Constantinus magnus ædificavit.

D Suburbium Daphne sic dictum est, quod statua ibi collocata esset fatidicæ Daphnes Apollini adamatæ. Adhæc moris erat, ut in eo loco Calendis Januariis populus Senatui laureas offerret.

Hippodromus Palatii ex eo nomen habet, quod moris esset Imperatoribus, ibi privatim ludos circenses exercere. Hæc consuetudo duravit a Constantino magno usque ad Irenem Atheniensem.

Signum fortunæ urbis stabat supra arcum Palatii, quod olim Roma a Constantino magno delatum Mauricius postea confregit.

E Porta ferrea ob hanc causam ita nominata est. Cum columna porphyretica fori Roma adveheretur, triennium integrum ob enormem magnitudinem in via fuit. Cum vero tandem per supradictam portam ex navibus in urbem introducenda esset, & timerent, ne, quia locus fungosus esset & humectus, columna in terram depressa ulterius non posset provehi, ideo ferreis vectibus viam straverunt circa portam, quæ inde nomen retinuit.

Ἄλσου, ἡ ἁγία Ἑλένη ἔκτισε, εἰς μίμησιν τοῦ τάφου τοῦ Χριστοῦ, μετὰ ποικίλων καὶ θαυμαστῶν μαρμάρων, καὶ κτήματα πολλὰ ἐπικύρωσε.

Τὴν κινστέρναν τοῦ Βώνου, Βῶνος ὁ μάγιστρος ἔκτισεν, ὁ οἰκεῖος ἄνθρωπος Ἡρακλείου, ὃν καὶ κατέλιπεν εἰς φυλακὴν τῆς πόλεως ἀντ' αὐτοῦ, ὅτε ἐξῆλθεν ἀπὸ τῆς πόλεως κατὰ Περσῶν.

Τὴν δὲ Μωκισίαν Ἀναστάσιος ὁ Δίκορος ἐκ τινὸς ὅτε δὲ αὐτὴν ἔκτισεν, λεῖψις ἦν ἐν τῇ πόλει ὕδατος, καὶ σίτου, ὡς πιπράσκεσθαι τὸν σίτου μόδιον ἓν εἰς τὸ νόμισμα. ἔλαβε δὲ τὴν τοιαύτην ἐπωνυμίαν ἡ κινστέρνα, διὰ τὸ πλησίον εἶναι τοῦ ἁγίου Μωκίου.

Εἰς δὲ τὸ καλούμενον Πορφυροπώλιον, τὸ παλαιὸν Πορφύρας ἔβαπτον.

B Τὸν δὲ ξενῶνα τὸν λεγόμενον τοῦ Σαμψὼν, ὁ ὅσιος Σαμψὼν ἐκ τινὸς συνεργείας Ἰουστινιανοῦ τοῦ μεγάλου, διότι ὁ ὅσιος Σαμψὼν αὐτὸν ἰάσατο ἐκ τῆς νόσου.

Τὰ δὲ Εὐβούλου, παρὰ Εὐβούλου πατρικίου ἐκτίσθη, ἐν τοῖς χρόνοις Ἰουστίνου τοῦ Θρᾳκός. ἐπεὶ οἶκος αὐτοῦ ἐκεῖσε. 106.

Τὰ δὲ Ἰσιδώρου, ὁ ὅσιος Ἰσίδωρος ὁ ἀδελφὸς Εὐβούλου ἔκτισεν.

Τὸν ἅγιον Τρύφωνα, τὸν εἰς τὰ Εὐβούλου, Ἰουστινιανὸς ὁ μέγας ἀνήγειρε. τὸν δὲ εἰς τὰ Βασιλίσκου, Ἰουστῖνος καὶ Σοφία.

Τὰ δὲ Βασιλίσκου οἶκος ἦν Βασιλίσκου πατρικίου καὶ δρουγγαρίου, ὅστις βασιλεύσας ἐποίησεν αὐτὸν τερπνὸν παλάτιον, ὕστερον τῷ χρόνῳ ἀφανισθέντος, ὁ τόπος περισώ-

C ζει ἀκμὴν τὴν ἐπωνυμίαν.

Τὰ παλαιὰ παλάτια τῶν Σοφιῶν Μαυρίκιος ἀνήγειρεν εἰς τὸ ὄνομα Ἀναστασίας τῆς πενθερᾶς αὐτοῦ, γυναικὸς Τιβερίου. μετὰ δὲ εἴκοσι καὶ ὀκτὼ ἔτη Ἡράκλειος, πρὸ τοῦ βασιλεῦσαι αὐτὸν, τὴν κατοικίαν ἐκεῖσε ἐποιεῖτο. πάνυ γὰρ ἐφίλει τὴν τοιαύτην κατοικίαν· λέγεται δὲ, ὅτι καὶ ἐκεῖσε ἀπεκαλύφθη, ὅτι μέλλει κρατῆσαι.

Τὰ ἐπάνω τοῦ τείχους παλάτια τοῦ Βουκολέοντος, ὁ μικρὸς ἀνήγειρε Θεοδόσιος. ὁ δὲ Ἰουστινιανὸς ἀνήγειρε τρίκλινον, καὶ καλεῖται εἰς τὸ ὄνομα αὐτοῦ. οὗτος ἐποίησε καὶ τὸ χρυσοτρίκλινον, καὶ τὸν Λαυσιακόν.

Τὰ δὲ παλάτια τοῦ ἱππικοῦ καὶ τοῦ Κοιαίστορος, ὁ μέγας ἀνήγειρε Κωνσταντῖνος. 107.

D Ἡ δὲ Δάφνη ἐκλήθη, διὰ τὸ ἵστασθαι ἐν τῷ τόπῳ στήλην, ἥτις ἦν ἡ μαντικωτάτη ποτὲ Δάφνη τοῦ Ἀπόλλωνος. ἀλλὰ καὶ τύπος ἦν, ἐν αὐτῷ τῷ τόπῳ τῇ πρώτῃ καλανδῶν Ἰανουαρίου, λαμβάνειν τοὺς συγκλητικοὺς Δάφνας παρὰ τοῦ δήμου.

Ὁ δὲ ἐν τῷ παλατίῳ ἱππόδρομος ἐκλήθη οὕτως, ὅτι τύπος ἦν τοῖς Βασιλεῦσι, ὅτι κατ' ἰδίαν γυμνάζοντες, ἔτρεχον δι' ἵππων ἐκεῖ. καὶ ἦν τὸ ἔθος κρατοῦν ἀπὸ τοῦ μεγάλου Κωνσταντίνου μέχρι Εἰρήνης τῆς Ἀθηναίας.

Ἡ δὲ τύχη τῆς πόλεως, τὸ ἄγαλμα, ἦν ἐπάνω τῆς ἀψῖδος τοῦ παλατίου ἱσταμένη, ἀχθεῖσα ἀπὸ Ῥώμης παρὰ τοῦ μεγάλου Κωνσταντίνου. ὁ δὲ Μαυρίκιος συνέτριψεν αὐτήν.

E Ἡ δὲ σιδηρᾶ πόρτα ἐκλήθη οὕτως· ὁ πορφυροῦς μέγας κίων τοῦ φόρου, πλοϊζόμενος ἀπὸ Ῥώμης, διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους αὐτοῦ, τρεῖς χρόνους ἐποίησεν ἕως τοῦ ἐλθεῖν ἐνταῦθα. εἰς δὲ τὴν ῥηθεῖσαν πόρταν τῶν Σοφιῶν μέλλοντος ἀχθῆναι τοῦ κίονος ἐκ τοῦ χεδίου, καὶ τοῦ τόπου χαύνου καὶ ἀλσώδους ὄντος, δεδοικότες, μὴ ὁ κίων χωσθεὶς, οὐ δυνήσεται ἐξελθεῖν, διὰ σιδηρῶν μοχλῶν κατέστρωσαν τὴν περὶ τὴν πόρταν ὁδὸν, καὶ οὕτως ἐκλήθη πόρτα σιδηρᾶ. 108.

Τὸν

Τὸν ἅγιον Λουκᾶν, ἐν ᾧ οἱ τεθνεῶτες θάπτονται Εἰρήνη ἡ Ἀθηναία ἔκτισεν, ὅπως δωρεὰν ἐν αὐτῷ θάπτωνται οἱ πένητες. πάνυ γὰρ εὐσεβεστάτη οὖσα πολλὰ γηροκομεῖα, καὶ ξενοδοχεῖα, καὶ πτωχοτροφεῖα ἐποίησεν, εἰς ἀποτροφὴν τῶν πενήτων. ἀλλὰ καὶ φόρων βάρη ἐξέκοψε. τρία δὲ μάλιστα ταῦτα τὰ κυριώτερα ἐποίησε, θανάτου, καὶ ζωῆς, καὶ ὑγείας. Θανάτου μὲν ξενοτάφιον τὸν ἅγιον Λουκᾶν, ζωῆς δὲ τὸ πιστωρεῖον, ὑγείας δὲ τὸν ξενῶνα, τὰ καλούμενα τῆς μακαρίας Εἰρήνης.

Τὸν ἅγιον Διομήδην ἔκτισε μὲν ὁ ἅγιος Κωνσταντῖνος, Βασίλειος δὲ ὁ Μακεδὼν, διὰ τὸ λαβεῖν ἀπ' ἐκεῖσε τὸν περὶ τῆς Βασιλείας χρησμὸν, ἐπλάτυνε, καὶ ἐκάλλυνε, καὶ χρήματα πολλὰ ἀπεχαρίσατο.

Τὰ Στουδίου Στούδιος πατρίκιος ἔκτισεν ἐν τοῖς χρόνοις Λέοντος τοῦ Μακέλλη, καὶ κτήματα πολλὰ ἐπεκύρωσε, καὶ μοναχοὺς χιλίους ἀπέταξε.

Η καλουμένη τοῦ ἁγίου Αἰμιλιανοῦ πόρτα οὕτως ἐκλήθη, διὰ τὸ εἶναι πλησίον τὸν ναὸν τοῦ ἁγίου Αἰμιλιανοῦ, ὃς πρότερον μὲν ἦν εὐκτήριον μικρόν. ὅτε δὲ ἤχθη εἰς τὴν πόλιν τοῦ Μωσέως ἡ ῥάβδος ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου, ἐδέξατο αὐτὴν ὁ Βασιλεὺς ἐκεῖσε πεζὸς, καὶ
109. ἀνήγειρε μέγιστον ναὸν τῆς Θεοτόκου, ἔνθα κατέθετο τὴν ῥάβδον. ἔκτισε δὲ μείζονα καὶ τὸν ἅγιον Αἰμιλιανόν. μετὰ δὲ ταῦτα ἀπηνέγκατο τὴν ἁγίαν ῥάβδον ἐν τῷ παλατίῳ.

Εν τοῖς χρόνοις τοῦ μεγάλου Θεοδοσίου, ἤχθη ἐλέφας μικρὸς ἀπὸ Ινδίας καὶ ἐτρέφετο εἰς τὰ Βασίλεια. ἱππικοῦ δὲ ἀγομένου, καὶ ἀπαγομένου αὐτοῦ πρὸς αὐτὸ, καταλλάκτης τὶς διερχόμενον αὐτὸν διὰ τοῦ Μιλίου, ἔπαισε μετὰ ῥάβδου σφοδρῶς. χρόνων δὲ διελθόντων δέκα, ἀνατραφεὶς ὁ Ελέφας, συνέβη καὐθις, ὡς ἔθος ἀπάγεσθαι εἰς τὸ ἱππικόν. περὶ δὲ τὸν τόπον τοῦ Μιλίου γενόμενος, καὶ τοῦ ποτὲ τύψαντος αὐτὸν ἀναμνησθεὶς, καὶ ἰδὼν ἐν τῷ τραπεζίῳ καθεζόμενον, καὶ γνωρίσας, ἀθρόως δραμὼν πρὸς αὐτὸν, καὶ ἐπιβρυχισάμενος ἔφερε μετὰ τῶν ὀδόντων αὐτοῦ, καὶ ἔσχισεν εἰς μέσον τὸν ἄνθρωπον, καὶ ἐθαύμασε πᾶς τὸ φυσιμνησίκακον τοῦ θηρίου.

Τὰ δὲ Κλαυδίου οἶκος ἦν Κλαυδίου πατρικίου καὶ Κοιαίστορος, ἐν τοῖς χρόνοις Βασιλίσκου τοῦ Βασιλέως.

Τὰ δὲ Κανικλείου οἶκος ἦν Θεοκτίστου μαγίστρου καὶ ἐπὶ κανικλείου, τοῦ σφαγέντος εἰς κοῖλα τοῦ ἱππο-
110. δρομίου παρὰ Βάρδα Καίσαρος τοῦ θείου Μιχαὴλ τοῦ μεθυστοῦ.

Τὸν τοῦ Ελευθερίου λιμένα ὁ μέγας Κωνσταντῖνος ἀνήγειρε, κτίζων τὴν πόλιν. ἔλαβε δὲ τὴν προσηγορίαν ταύτην ἀπὸ Ελευθερίου πατρικίου καὶ παρισταμένου εἰς τὸ κτίσμα. ἵστατο δὲ ἐν τῷ αὐτῷ λιμένι στήλη μαρμαρίνη Ελευθερίου, φέρουσα πτύον καὶ κόφινον. ὁ δὲ Βασιλεὺς Θεοδόσιος ὁ μικρὸς, τὸν ἀναχωματισμὸν τοῦ κτισθέντος παρ' αὐτοῦ κίονος ἐν τῷ Ταύρῳ χύσας ἐν αὐτῷ κατέχωσε, καὶ ἠφάνισε τὸν λιμένα, πλακωτὸν ὄντα κάτωθεν καὶ βαθύτατον.

Τὸν ἅγιον Παντελεήμονα Θεοδώρα ἡ γυνὴ τοῦ μεγάλου Ιουστινιανοῦ ἀνήγειρε, διότι ἦλθεν ἀπὸ Παφλαγονίας, ἐκεῖσε ἐν τῷ ἐμβόλῳ κατῴκει, πένης οὖσα καὶ ἐριανήθουσα ἐξ ὧν εἶχε τὴν διατροφήν. μετὰ δὲ τὸ βασιλεῦσαι, ἔκτισε τὴν πενιχρὰν ἐκείνην οἰκίαν εἰς ναόν.

A Cœmeterium S. Lucæ condidit Irene Attica, ut gratis ibi sepelirentur pauperes. Eadem singulari pietate mota, complures domus senibus, peregrinis & pauperibus sustentandis ædificavit. Item tributorum onera minuit. Imprimis autem tria hæc morti, vitæ, & sanitati extruxit: morti Xenotaphium sive Cœmeterium peregrinorum, vitæ Pistoriam, sanitati, Hospitale quod Beatæ Irenæ dicitur.

Templum sancti Diomedis primus ædificavit Constantinus magnus: post eum autem Basilius Macedo id majus & pulchrius reddidit, multisque donavit divitiis, propterea quod inde oraculum de futuro imperio acceperat.

B Monasterium Studii Studius Patricius condidit tempore Leonis Macelæ, & plurimis ditavit possessionibus, atque monachos mille in eo instituit.

Porta S. Æmiliani nomen accepit a proximo templo S. Æmiliani, quod prius parvum erat oratorium. Cum autem sub Constantino magno virga Moysis in urbem afferretur, pedes eam in hoc loco excepit Imperator, & magnam condidit Ecclesiam S. Deiparæ, ubi eam deposuit, atque templum S. Æmiliani valde ampliavit. Cæterum postea sacram illam virgam in Palatium transtulit.

Tempore Theodosii magni juvenis elephas ex India adductus fuit, qui alebatur in Palatio Imperatoris. *Edit. Paris. pag. 52.*
C Hic cum ad ludos circenses deduceretur, Collybista quidam ei, per Miliarium transeunti, fustem impegit quamvehementissime. Post annos vero decem Elephas, qui jam succreverat, iterum pro more ad Hippodromum ducebatur, & ubi ad Miliarium pervenit, reminiscens ejus, a quo olim ibi erat cæsus, & fortuito ipsum mensæ videns assidentem & recognoscens, subito impetu illuc accurrit, & hominem cum barritu adorsus, dente eum ferit mediumque discerpsit. Unde omnes in eo animali naturalem offensæ recordationem admirati sunt.

In loco nominato Claudii domus erat
D Claudii Patricii & quæstoris tempore Basilisci Imperatoris.

In loco dicto Caniclei, domus erat Theoctisti magistri & præfecti Caniclei, qui capite plexus fuit in caverna Hippodromi jussu Bardæ Cæsaris, qui patruus fuit Michaelis cognomine Ebriosi.

Portum Eleutherii Constantinus magnus struxit eodem tempore, quo ipsam urbem condidit. Nomen vero accepit ab Eleutherio Patricio, qui ejus structuræ præfuit. Ejusdem statua ibi posita erat, manu gerens ligonem & cophinum. Cæterum Imperator Theodosius junior, cum columnam cum statua sua in Tauro erigeret, terram fodiendo erutam, in
F hunc portum ingessit, atque eum opplevit; qui antea fundum lapide quadrato pavitum & altissimum habuit.

Ecclesiam S. Panteleemonis Theodora uxor Justiniani magni extruxit: quoniam ea Paphlagonia Constantinopolim veniens, ibi habitaverat in porticu, paupercula tunc & lanificio sibi victum quæritans. Sed postquam ad imperium pervenit, ædes illas paupertinas in Ecclesiam mutavit.

A Quam vocant Narsetis, domus erat Narsetis Patricii, & Præpositi Eunuchi, tempore Justiniani magni, quam ipse postea mutavit in Hospitale & Gerocomium.

Idem Narses templa SS. Probi Tarachi & Andronici ædificavit.

Templum S. Thomæ dictum Amantii, domus erat Amantii accubitoris tempore Anastasii Dicori, quam ipse mutavit in Ecclesiam: incendio autem consumtam restituit filius ejus Basilius.

Monasterium appellatum Martinacæ condidit Martinaces Patricius, avunculus Dominæ Theophanous, sub Michaele Methysta & Basilio Macedone.

Edit. Paris. pag. 53. Templum S. Joannis Præcursoris cognominatum Probi Probus Patricius exstruxit, item Palatium ædificavit admiratione dignum.

B Toxara ut vocant domus erat Toxaræ manclavitæ, qui jussu Basilii Macedonis Michaelem Ebriosum in templo S. Mamantis occidit.

Templum Curatoris condidit Verina uxor Leonis Macellæ ad instar Sepulchri Christi. Structuræ autem Curator quidam domesticus ejus præfuit.

Ecclesiam Diaconissæ exstruxit Cyriacus Patriarcha tempore Mauricii Imperatoris. Ita vero denominata est, quod Patriarcha adhuc Diaconus ibi habitaret, & soror ejus ibidem esset diaconissa.

C Ecclesiam S. Anastasiæ Pharmacolytræ, Anastasius Dicorus ædificavit eo loco ubi Pharmaei cujusdam Patricii domus fuit.

Locus dictus Leomacellum ita denominatum fuit, quod Leo Macelas, antequam Imperio potiretur, carnes ibi vendiderit, & uxor ejus chordas torqueret.

In loco nominato Florentii domus erat Florentii Patricii & Ducis Antiochiæ, qui vixit tempore Arcadii Imperatoris, & domum suam mutavit in Gerocomium.

D Anthemiana domus erat Anthemii magistri, quem Marcianus Imperator in urbe coronavit, &, data ei in uxorem filia, quam ex prima uxore susceperat, Imperatorem Romam misit. Is vero domum suam in templum Gerocomium & balneum mutavit.

Monasterium Festinationis, condidit Anna Augusta Leonis Isauri. Cum enim gravida esset, & revertens ex Blachernis in via pariendi necessitate urgeretur, festine divertit ad quendam Protospatharium, & ibi peperit; domumque in Monasterium mutatam Festinationis vocavit, ob acceleratum partum. Eadem Augusta Monasterium Annæ ædificavit.

E Gerocomium Severi condidit Severus Patricius, frater adoptivus Constantini Imperatoris, qui nepos Heraclii fuit, & in balneo occisus est. Idem quoque templum exstruxit, quo loco domus ejus sita fuerat. Imperatore autem supradicto in Sicilia interemto, sumsit sibi hic Severus Romanam classem, & cum ea usque ad locum cui Phœnicis nomen est, pervenit.

Gainæ quæ vocatur domus erat Gainæ Patricii, qui tempore Arcadii Imperatoris Imperium affectavit in Thraciæ partibus, atque ibi occisus fuit.

Τὰ Ναρσοῦ οἶκος ἦν Ναρσοῦ πατρικίου καὶ πραιποσίτου εὐνούχου, ἐν τοῖς χρόνοις Ἰουστινιανοῦ τοῦ μεγάλου, καὶ μετετέθη εἰς ξενῶνα καὶ γηροκομεῖον παρ' αὐτοῦ.

Τὸν ἅγιον Πρόβον, Τάραχον, καὶ Ἀνδρόνικον ὁ αὐτὸς Ναρσὴς ἀνήγειρε.

Ὁ δὲ ἅγιος Θωμᾶς, ὁ τοῦ Ἀμαντίου καλούμενος, οἶκος ἦν Ἀμαντίου πρακουβιτώρου ἐν τοῖς χρόνοις τοῦ Δικόρου. κἀκεῖνος ναὸν ἀνήγειρεν. ὕστερον δὲ πυρποληθέντα ὁ υἱὸς Βασίλειος ἀνήγειρεν.

Τὴν μονὴν τῆς Μαρτινάκη ἀνήγειρε Μαρτινάκης πατρίκιος, ὁ θεῖος τῆς Δεσποίνης Θεοφανοῦς ἐπὶ Μιχαὴλ τοῦ μεθυστοῦ καὶ Βασιλείου Μακεδόνος.

Τὸν Πρόδρομον τοῦ Πρόβου Πρόβος πατρίκιος ἀνήγειρε, καὶ παλάτια ἔκτισε θαυμαστὰ πάνυ. 111.

Τὰ λεγόμενα Τοξαρᾶ οἶκος ἦν Τοξαρᾶ μαγκλαβίτου, τοῦ ἀνελόντος κατ' ἐπιτροπὴν τοῦ Βασιλείου τοῦ Μακεδόνος Μιχαὴλ τὸν μεθυστὴν εἰς τὸν ἅγιον Μάμαντα.

Τὰ Κυράτορος ἐκτίσθη παρὰ Βερίνης γυναικὸς Λέοντος τοῦ Μακέλλου, εἰς τύπον τοῦ τάφου Χριστοῦ. παρίστατο δὲ Κουράτωρ ἄνθρωπος οἰκεῖος αὐτῆς, εἰς τὸ κτίσμα.

Τὰ Διακονίσσας ἔκτισε Κυριακὸς ὁ Πατριάρχης ἐν τοῖς χρόνοις Μαυρικίου τοῦ βασιλέως. ἐπεκλήθη δὲ οὕτως, ὅτι ὁ Πατριάρχης ἔτι διάκονος ὢν ἐκεῖσε ᾤκει, καὶ ἡ ἀδελφὴ αὐτοῦ ἐκεῖσε ἦν διακόνισσα.

Τὴν ἁγίαν Ἀναστασίαν τὴν φαρμακολύτριαν, Ἀναστάσιος ὁ Δίκορος ἀνήγειρεν. ἦν δὲ ἐκεῖσε οἶκος πατρικίου τινὸς Φαρμακοῦ καλουμένου.

Τὸ λεγόμενον Λεωμάκελλον τρόπον τοιοῦτον ἐκλήθη οὕτως, ὅτι Λέων ὁ Μακέλλης, ὃς ἑρμηνεύεται σφαγεὺς, πρὸ τοῦ βασιλεῦσαι λέγεται, ὅτι κρέα ἐπώλει, καὶ ἡ γυνὴ αὐτοῦ ἔπλεκε χορδὰς ἐν τῷ αὐτῷ τόπῳ.

Τὰ Φλωρεντία οἶκος ἦν Φλωρεντίου πατρικίου καὶ Δουκὸς Ἀντιοχείας, τοῦ ἐν τοῖς χρόνοις Ἀρκαδίου τοῦ Βασιλέως ὅστις τελευτῶν ἐποίησε τὸν οἶκον αὐτοῦ γηροκομεῖον.

Τὰ Ἀνθεμίου οἶκος ἦν Ἀνθεμίου μαγίστρου τοῦ ἐν τοῖς χρόνοις Μαρκιανοῦ, ὃς καὶ ἔστεψεν αὐτὸν ἐν τῇ πόλει, δεδωκὼς αὐτῷ τὴν ἐκ πρώτης γυναικὸς αὐτοῦ θυγατέρα, καὶ ἀπέστειλεν εἰς Ῥώμην Βασιλέα. ὁ δὲ τὸν αὐτοῦ οἶκον εἰς ναὸν καὶ γηροκομεῖον ἀνήγειρε, καὶ λοῦμα. 112.

Τὰ Σπουδῆς, Ἄννα ἡ Αὐγοῦστα ἔκτισεν, ἡ Λέοντος τοῦ Συρογενοῦς. ἔγκυος γὰρ οὖσα, καὶ στρεφομένη ἀπὸ τῶν Βλαχερνῶν, τῆς τοῦ τεκεῖν αὐτὴν ὥρας παραστάσης, εἰσῆλθε μετὰ σπουδῆς εἰς οἶκόν τινος πρωτοσπαθαρίου, καὶ ἀπέτεκε, καὶ ἐποίησε τὸν οἶκον ἐκεῖνον μονὴν, καὶ ἐπωνόμασε Σπουδῆς, διὰ τὸ κατεπείγειν αὐτὴν καὶ ἐπισπεύδειν τὸν τοκετόν. ἀλλὰ καὶ τὴν μονὴν τῆς Ἄννης, ἡ αὐτὴ δέσποινα Ἄννα ἐποίησε.

Τὰ Σεβήρου τὸ γηροκομεῖον Σεβῆρος πατρίκιος ἔκτισεν ὁ ἀδελφοποιητὸς Κώνσταντος Βασιλέως, τοῦ ἐγγόνου Ἡρακλείου, ὃς ἀνῃρέθη ἐν τῷ βαλανείῳ εἰς Σικελίαν. ἀλλὰ καὶ ναὸν ἀνήγειρεν, ἐπεὶ οἶκος αὐτοῦ ἐνταῦθα ἦν. μετὰ γοῦν τὸ σφαγιασθῆναι τὸν ῥηθέντα Βασιλέα ἐν Σικελίᾳ, παρέλαβεν αὐτὸς τὸν Ῥωμαϊκὸν στόλον, καὶ ἀνῆλθεν ἕως τοῦ καλουμένου Φοίνικος.

Τὰ Γαϊνᾶ, οἶκος ἦν Γαϊνᾶ Πατρικίου τοῦ τυραννήσαντος εἰς τὰ Θρᾳκῷα μέρη, ἐν τοῖς χρόνοις Ἀρκαδίου, καὶ σφαγέντος ἐκεῖσε. 113.

A Τὰ Εὐσεβίου Εὐσέβιός τις ἔκτισε πατρίκιος, ἐν τοῖς χρόνοις Ἰουστίνου καὶ Σοφίας τῶν εὐσεβεστάτων ζεύγους.

Τὴν ὑπεραγίαν Θεοτόκον τὰ Κύρου, Κῦρος πατρίκιος καὶ ἔπαρχος ἔκτισεν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, ὃς καὶ παρίστατο εἰς τὸ κτίσμα τοῦ χερσαίου τείχους, ὅτε ἐκτίζετο παρὰ τῶν δύο μερῶν, καὶ ὑπὸ τῶν δημοτῶν ἀγαπηθεὶς ἦν. ὅτι καὶ φωνὴν μεγάλην εἶπον. Κῦρος καὶ εἰς ἄλλο νικήσει, καὶ προκόψει. ὅπερ ἀκούσας ὁ Βασιλεὺς, ἐποίησεν αὐτὸν μητροπολίτην εἰς Σμύρναν.

Εἰς δὲ τὸ χρυσοκάμαρον, τὸ ὄπισθεν τοῦ μυρελαίου, ζώδιον ἵστατο χρυσοῦν, ἐξ οὗ ἐκλήθη Χρυσοκάμαρον. ἐν δὲ τοῖς χρόνοις Βάρδα Καίσαρος τοῦ θείου Μιχαὴλ ἐκλάπη. εἰς δὲ τὸ Χρυσοκάμαρον τὸ πλησίον τοῦ ἁγίου
B Ἀκακίου, ὅπου ἐστὶ τὸ Μωσηλὲ ὁ οἶκος, Χριστοῦ ὑπῆρχεν εἰκονισμός.

Εἰς τὰ δύο Μυρέλαια μύρα ἔῤῥει, καὶ ἰάματα πολλὰ ἐγίνετο ὑπὸ τῆς Θεοτόκου, καὶ διὰ τοῦτο ἐκλήθησαν.

114. Τὸ ἀνεμοδούλιον τὸ χαλκοῦν ἐστηλώθη παρὰ Ἡλιοδώρου ἀστρονόμου ἐν τοῖς χρόνοις Λέοντος τοῦ Συρογενοῦς· ἐν ᾧ εἰσὶν ἐστηλωμένοι οἱ δώδεκα ἄνεμοι. τὰ δὲ χαλκουργήματα τὰ μεγάλα ἤχθη ἀπὸ τοῦ κάστρου Δυῤῥαχίου. εἶχε δὲ αὐτά τις γυνὴ εἰς προῖκα αὐτῆς.

Τὸν ἅγιον Ἀκάκιον τὸν Χαρίαν ἔκτισεν ὁ ἀδελφὸς Ναρσῆ πατρικίου ἐν τοῖς χρόνοις Ἰουστίνου καὶ
C Προκοπίας.

Ὁ ἅγιος Προκόπιος τὰ Βιγλεντίας, εἰς τὸν Ταῦρον, ἐκτίσθη παρὰ Ἰουστινιανοῦ, ὃς καὶ ἄλλα πολλὰ αὐτόθι παλάτια ἔκτισε, λόγῳ τῆς αὐταδέλφης αὐτοῦ Βιγλεντίας. ὑπὸ δὲ ἐμπρησμοῦ ἀφανισθέντα, Ἀντωνίνα ἡ γυνὴ Βελισαρίου τοῦ μαγίστρου, ἥτις ζωστὴ ἦν Θεοδώρας τῆς γυναικὸς Ἰουστινιανοῦ τοῦ μεγάλου, μετὰ τὸ χηρεῦσαι αὐτὴν, κατῴκει μετὰ Βιγλεντίας, καὶ συναινέσει αὐτῆς πάλιν ἀνήγειρε τὸν ναὸν τοῦ ἁγίου Προκοπίου, τὰ Βιγλέντια καλούμενον.

Τὸ δὲ λεγόμενον Κοντοσκάλιον ἡ πόρτα ἀπὸ Γαληνοῦ, τοῦ παρισταμένου εἰς τὸ κτίσμα τοῦ λιμένος, ἔλαβε τοὔνομα· καὶ γὰρ ἐκεῖνος Κοντόσκελος ἐπωνομά-
D ζετο.

Ἡ λεγομένη τοῦ Ψαρελαίου μονὴ, πρότερον Μυρόδωνος ἐκαλεῖτο. ὁ δὲ Κοπρώνυμος διερχόμενος ἐ-
115. κεῖ, ἠρώτησε τὸν πατρίκιον τὸν Καμουλιανόν. πῶς κέκληται ἡ μονή· τοῦδε μὴ εἰδέναι εἰπόντος, αὐτὸς εἰδὼς, καὶ ἐνυβρίσαι θέλων τῶν μοναχῶν βρῶσιν Ψαρελαίου καλεῖσθαι ταύτην ἐκέλευσε, καὶ γέγονε τὸ τοῦτο ῥῆμα κύριον ὄνομα τῇ μονῇ. οἱ δὲ ἐκεῖσε μοναχοὶ τέως καὶ ταῦτα ἐξέφυγον.

Ὁ χορτοβολὼν ὁ ὢν εἰς τὸ Βύκινον ἐκκλησία ἦν τοῦ ἁγίου Ἀνδρέου, ἣν ἀνήγειρε Ἰουστινιανὸς ὁ μέγας. ὁ δὲ Καβαλῖνος ἐποίησεν αὐτὴν χορτοβολῶνα.

E Εἰς τὴν καλουμένην Ψαμαθίαν εἴδωλον ἵστατο σεβόμενον παρ' Ἕλληνος τινὸς, ἔλεγον οὖν οἱ Χριστιανοὶ πρὸς τὸν σέβοντα αὐτό. κατὰ ψεῦσμα Θεός ἐστι τοῦτο τὸ σὸν εἴδωλον. καὶ ἐκ τούτου ἔλαβεν ἡ πόρτα τὴν τοιαύτην ἐπίκλησιν. ἢ ἀπὸ τὸ ὕψωμα θεῖον, διὰ τὸ ἄνωθεν ἵστασθαι τὸν τίμιον σταυρόν.

Ἡ πέμπτη λεγομένη πόρτα ἐκλήθη, διὰ τὸ εἶναι τὸν ἀριθμὸν τὴν πέμπτην.

Georg. Cod. de Orig. CP.

A Ædificium nominatum Eusebii Eusebius quidam Patricius exstruxit tempore Justini & Sophiæ conjugum pissimorum. Edit. Parif. pag. 54.

Ecclesiam S. Deiparæ cognominatam Cyri, Cyrus Patricius & præfectus sub Theodosio juniore condidit. Idem structuræ terrestris muri præfuit, & a populo adeo dilectus fuit, ut publice exclamaret, fore, ut ad majorem proveheretur dignitatem. Quo audito Imperator eum Metropolitanum Episcopum Smyrnæ fecit.

In Chrysocamera, quæ sita est post Myrelæum, stabat olim signum aureum, a quo Chysocamera nomen accepit. Hoc autem tempore Bardæ Cæsaris furto inde ablatum fuit. In altera Chry-
B socamera, quæ est prope S. Acacium, ubi est domus Mosele, Christi imago asservabatur.

In duobus illis locis, quæ vocantur Myrelæa, ungoenta scaturibant, & multi sanitati restituebantur, ope virginis Deiparæ: unde etiam nomen obtinuerunt.

Anemodulium æreum in quo duodecim ventorum signa posita sunt, tempore Leonis Isauri ab Heliodoro Astronomo erectum fuit. Magna autem ejus simulacra ærea Dyrrachio allatæ sunt a muliere quadam, quæ in dotem illa acceperat.

Ecclesiam S. Acacii dictam Chaream ædificavit frater Narsetis Patricii tempo-
C re Justini & Procopiæ.

Templum S. Procopii cognominatum Vigilantiæ, quod situm est in Tauro, primus exstruxit Justinianus, qui etiam multa alia Palatia ibi ædificavit nomine Vigilantiæ germanæ suæ sororis. Sed istam Ecclesiam incendio absumptam, reædificavit Antonina uxor Belisarii Magistri, quæ vestitrix fuit Theodoræ uxoris Justiniani magni, suasu ipsius Vigilantiæ, cum qua post mariti sui mortem habitavit.

Porta, quæ vocatur Contoscalium, nomen accepit a Galino, qui structuræ portus præerat, & cognominabatur Contosceelus.

Monasterium, Psarelæi, antea nomi-
D nabatur Myrodonis. Cum autem quodam tempore Constantinus Copronymus illud præteriens Camulianum Patricium interrogaret, quomodo id Monasterium vocaretur, atque is se nomen ejus nescire responderet, Imperator, qui bene illud noverat, nominari jussit Monasterium Psarelæi, illudens scilicet monachis, quod semper comederent pisces. Et Monasterium quidem hoc nomen re- pag. 55.
tinuit: Monachi vero propterea inde profugerunt.

Fænile, quod est in loco nuncupato Buccino, prius ecclesia erat S. Apostoli Andreæ, quam exstruxerat Justinianus magnus. Constantinus vero Copronymus eam mutavit in fænile.

E In Porta, quæ vocatur Psamathea sive littorea, idolum stabat, quod colebatur a quodam gentili: Propterea igitur, quod Christiani ejus cultori dicere solerent: Falsus est & ementitus Deus hoc tuum idolum; ideo Porta sic nominata est: vel propter exaltatum ibi sanctæ, & venerandæ crucis signum, quod supra eam positum erat.

Porta, quæ vocatur Quinta, ex eo nomen habet, quod numero quinta sit.

Porta Charsiæ, ita dicta est a Charsia secundario factionis Venetæ, qui structuræ ejus loci præfuit, cum conderetur murus terrestris.

Porta quæ vocatur Xylocercus, nomen ex eo habet quod artifices eam struentes, propter magnam aquæ copiam ibi repertam, & crebram maris inundationem, roboreis tignis & palis in aqua defixis fundamentum superposuerunt.

Ecclesiam S. Deiparæ, quæ cognominatur ad Fontem, Justinianus magnus condidit. Cum enim aliquando in Thraciam venatum iret, & ex hoc templo, quod tunc temporis parvum oratorium erat, magnam videret prodire populi multitudinem, interrogavit, quidnam illud sibi vellet; Strategio autem quodam magistro & custode imperialis pecuniæ respondente, fontem ibi esse morbos sanantem, valde hoc admiratus est Imperator, & ex superflua materia magnæ Ecclesiæ ingens ibi & splendidum ædificavit templum, quod terræ motu collapsum Irene Attica reædificavit, ducentis & septuaginta septem annis post primam ejus ædificationem.

Templa imaginis non manufactæ & S. Joannis Theologi a beato Constantino primo exstructa fuerunt.

Ecclesiam S. Joannis Baptistæ Theodosius magnus condidit, quia ipso imperante sanctum ejus caput in urbem allatum fuit, quod Imperator cum Patriarcha Nectario in Hebdomo suburbio excepit, & in S. Joannis Evangelistæ templo deposuit, usque dum per Rufinum magistrum Ecclesia supradicta S. Joannis Baptistæ ædificaretur.

Monasterium Paulini Paulinus Magister condidit, qui valde familiaris fuit Imperatori Theodosio juniori, & una

Edit. Paris. pag. 56. cum ipso educatus. Hunc postea Theodosius zelotypia occidit ob conjugem Eudociam Augustam. Quippe offerebatur aliquando Imperatori pomum miræ magnitudinis e Phrygia allatum, quod ipse plurimum admiratus eum qui attulerat, centum hyperpyris remuneravit. Pomum vero ex templo S. Sophiæ, ubi hoc ipsi oblatum erat, ad Eudociam Augustam misit, quæ illud accipiens, æque magnitudinem atque pulchritudinem ejus mirata fuit. Accedens autem ad eam Paulinus, & idem pomum simili cum admiratione spectans, dixit; Ubinam Domina egregius ille fructus repertus est? At ipsa, quæ eum amabat, Tu, ait, accipe illud. Paulinus igitur pomum ab ea acceptum Imperatori remisit, ignorans ab eo prius Augustæ illud donatum fuisse. Imperator autem pomum recipiens, & cognoscens idem esse, quod antea Augustæ miserat, ipsam ad se vocatam interrogavit: Ubi est pomum, quod tibi misi? illa vero respondit: Paulino nostro fidelissimo dedi. Tunc Imperator illam quidem severa interminatione increpuit: Paulinum autem, dum ingrederetur Palatium, interfici jussit. Constituti igitur insidiatores eum in ascensu testudinis tenebrosæ aggressi sunt, cui tamen, solis auribus præsectis, vitam adimere non potuerunt. ipse enim, simulatque per insidias se circumventum sensit, recta inde profugit. Cæterum hoc ita evenit, miraculoso auxilio SS.

A Η δὲ Χαρσίου πόρτα ἐκλήθη ἀπὸ Χαρσίου, τοῦ δευτερεύοντος τοῦ μέρους τῶν Βενέτων, ὅτι παρίστατο ἐκεῖσε, ὅτε ἐκτίζετο τὸ Χερσαῖον τεῖχος.

Η Ξυλόκερκος πόρτα διὰ τοῦτο ἐκλήθη οὕτως, ὅτι οἱ τεχνῖται ἐν τῷ τόπῳ εὑρόντες ὕδατα πολλὰ, καὶ μὴ δυνάμενοι θεῖναι τεῖχος διὰ τὴν πολλὴν πλημμύραν, κέρκους καὶ πασσαλώματα μετὰ ξύλων ποιήσαντες, τεθείκασι τὸ θεμέλιον.

Τὴν Θεοτόκον τὴν καλουμένην πηγὴν ὁ μέγας 116.
Ἰουστινιανὸς ἔκτισεν, ἀπερχόμενος γὰρ εἰς Θρᾴκην ἐπὶ τῷ κυνηγῆσαι, εἶδε πλῆθος λαοῦ ἐξερχομένου ἐκ τοῦ ἐκεῖσε ναοῦ, μικροῦ ὄντος εὐκτηρίου, καὶ ἠρώτησε, τί ἐστιν; στρατηγὸς δέ τις μάγιστρος καὶ φύλαξ τῶν βα-
B σιλικῶν χρημάτων εἶπεν αὐτῷ. ἡ πηγὴ τῶν ἰαμάτων ἐστὶ Δέσποτα· καὶ ὁ Βασιλεὺς θαυμάσας ὥρισε, καὶ ἐκτίσθη ναὸς μέγιστος καὶ περικαλλὴς, ἐκ τῆς περισσευσάσης ὕλης τῆς μεγάλης ἐκκλησίας. ὑπὸ σεισμοῦ δὲ συμπτωθεὶς ἐκτίσθη πάλιν παρὰ Εἰρήνης τῆς Ἀθηναίας, ἔχων ὁ ναὸς, ἀφ' οὗ ἐκτίσθη ἕως τῆς Ἀθηναίας Εἰρήνης ἔτη διακόσια ἑβδομήκοντα ἑπτά.

Η δὲ ἀχειροποίητος, καὶ ὁ ἅγιος Ἰωάννης ὁ Θεολόγος παρὰ τοῦ ἐν ἁγίοις Κωνσταντίνου ἐκτίσθη.

Ο δὲ πρόδρομος ὁ στρογγυλόστεγος ἐκτίσθη παρὰ Θεοδοσίου τοῦ μεγάλου, ὅτι ἐπὶ ἡμέραις αὐτοῦ ἤχθη ἡ τι-
C μία Κάρα τοῦ προδρόμου εἰς τὴν πόλιν, ἣν καὶ ἐδέξατο ἀπὸ τοῦ Ἑβδόμου μετὰ Νεκταρίου Πατριάρχου, καὶ κατέθετο εἰς τὸν ναὸν τοῦ Θεολόγου. εἶτα διὰ τοῦ μαγίστρου Ῥουφίνου ἔκτισε τὸν ναὸν τοῦ προδρόμου.

Η μονὴ τοῦ Παυλίνου ἐκτίσθη παρὰ Παυλίνου μα-
γίστρου τοῦ οἰκειοτάτου ἀνθρώπου τοῦ Βασιλέως Θεοδο- 117.
σίου τοῦ μικροῦ. σύντροφος γὰρ αὐτοῦ ὑπῆρχεν. ὃς καὶ ἀνήγειρε τὸν ναὸν τῶν ἁγίων ἀναργύρων. οὗτος ὁ Παυλῖνος ἀνῃρέθη παρὰ Θεοδοσίου, ζηλοτυπήσαντος αὐτὸν διὰ τὴν ἰδίαν γυναῖκα Εὐδοκίαν τὴν βασίλισσαν. καὶ γὰρ ἐπὶ τῶν ἡμερῶν αὐτοῦ εὑρέθη μῆλον παμμεγεθέστατον, ἀπὸ Φρυγίας κομίσαντος αὐτῷ τινος, ὅπερ λαβὼν ὁ Βασιλεὺς καὶ θαυμά-
D σας, δέδωκε τῷ κομίσαντι ὑπέρπυρα ἑκατόν. τὸ δὲ μῆλον ἀπέστειλεν Εὐδοκίᾳ τῇ βασιλίσσῃ ἐκ τῆς ἁγίας Σοφίας, ἐκεῖσε γὰρ ὄντι τῷ Βασιλεῖ ἐκομίσθη, κἀκείνη λαβοῦσα κατεῖχε, καὶ ἐθαύμασεν ἐπὶ τῷ μεγέθει καὶ κάλλει αὐτοῦ. προσελθὼν δὲ Παυλῖνος, καὶ ἰδὼν παρὰ τῇ Δεσποίνῃ τὸ μῆλον, ἐθαύμασεν, εἰρηκὼς αὐτῇ· πόθεν τοῦτο τὸ ἀγαθὸν εὑρέθη Δέσποινά μου; ἡ δὲ ἐρῶσα αὐτοῦ, λάβε τοῦτο, ἔφη. ὁ δὲ λαβὼν ἔπεμψε δῶρον τοῦτο τῷ Βασιλεῖ, μὴ εἰδὼς, ὅτι παρ' αὐτοῦ ἐδόθη τῇ Δεσποίνῃ. ὁ δὲ Βασιλεὺς λαβὼν, καὶ γνοὺς, ὅτι, ὅπερ ἀπέστειλε τῇ Βασιλίσσῃ, μῆλόν ἐστι, προσεκάλεσε τὴν Αὐγοῦσταν,
E καὶ ἐπηρώτησεν αὐτήν. ὅπερ ἔστειλά σοι μῆλον, ποῦ 118.
ἐστιν; ἡ δὲ εἶπε. Παυλίνῳ τῷ πιστοτάτῳ ἡμῶν δέδωκα. ὁ δὲ αὐτὴν μὲν ἠπείλησε ῥήμασιν αὐστηροῖς. Παυλῖνον δὲ προσέταξε φονευθῆναι εἰσερχόμενον εἰς τὸ παλάτιον. καὶ δὴ τοῦτον ἀνερχόμενον τὸν σκοτεινὸν κοχλίαν, οὐκ ἠδυνήθησαν οἱ προσταχθέντες τοῦτον φονεῦσαι, εἰ μὴ τὰ ὦτα αὐτοῦ μόνα ἐξέκοψαν. καὶ γνοὺς ἐκεῖ-

ους τὴν ἐπιβουλὴν ἔφυγε. τοῦτο δὲ εἰς θαῦμα τῶν ἁγί- A
ων ἀναργύρων γέγονε, ὡς ἂν πληρώσῃ τὸν ναὸν αὐ-
τῶν. Ὁ δὲ Βασιλεὺς ἀκούσας, ὅπως αὐτὸς ἔφυγε τὸν
προκείμενον φόνον, καὶ αἰσχυνθεὶς, ἄγνοιαν πρου-
βάλλετο, καὶ τοὺς τολμῶντας ἀμύνειν ἔλεγεν. ἀλλὰ
μετὰ ταῦτα ἤδη πεπληρωκότα τὸν ναὸν τῶν ἁγίων ἀ-
ναργύρων ἀπεκεφάλισεν αὐτόν.

Τὴν ἁγίαν Σορὸν, τὴν ἐν τοῖς χαλκοπρατείοις,
Ἰουστῖνος καὶ Σοφία ἀνήγειραν. ἐν δὲ τῇ ἀγρυπνίᾳ
ἀνεγίνωσκον μεγάλοι ἄνθρωποι, ἤγουν Μιχαὴλ ὁ
Ῥαγγαβὲ ὁ κουροπαλάτης, πρὸ τοῦ βασιλεῦσαι, καὶ
Βάρδας Καῖσαρ ὁ θεῖος Μιχαὴλ τοῦ υἱοῦ Θεοφίλου,
καὶ πολλοὶ τῶν μαγίστρων. ἐκεῖσε γὰρ ἐναπόκειται ἡ
τιμία ζώνη καὶ ἡ ἐσθὴς τῆς Θεοτόκου. τὸ δὲ ὠμοφόρι- B
ον ἐν Βλαχέρναις.

Τὸν ἅγιον Ἰάκωβον, τὸν πλησίον αὐτῆς. ὁ αὐτὸς
Βασιλεὺς ἀνήγειρεν. ἔνθα εἰσὶν ἐν σοροῖς λείψανα τῶν
ἁγίων νηπίων, Συμεὼν τοῦ Θεοδόχου, τοῦ προφήτου
Ζαχαρίου, καὶ Ἰακώβου τοῦ ἀδελφοθέου. ἐν δὲ τῷ δε-
119 ξιῷ μέρει τῆς ἁγίας σοροῦ εἰσὶ κείμενα τῶν ἁγίων
μυροφόρων γυναικῶν τὰ σώματα. ἐν δὲ τῷ εὐω-
νύμῳ αἱ τρίχες τοῦ τιμίου Προδρόμου.

Τὸ λοῦμα τοῦ Γερμανοῦ Γερμανὸς, ἐν τοῖς χρόνοις
Οὐαλεντινιανοῦ στρατηγὸς γενόμενος Πελοποννήσου, ἀ-
νήγειρε, οἶκον αὐτοῦ ἔχων.

Περὶ δὲ τῆς τοῦ Βοσπορίου ἐπονυμίας ταῦτα φη-
σὶ Ἰωάννης Ἀντιοχεὺς, ὅτι εἰς τὸ σιγματοειδὲς τοῦ C
τείχους εἶχον ἔθος πωλεῖν τὰς βόας, ὃ καὶ ἐφύλα-
ττε μέχρι τοῦ Κοπρωνύμου. εἷς δέ ποτε βοῦς οἰστρη-
λατήσας εἰσῆλθε τὴν θάλασσαν, καὶ ἐπέρασεν εἰς Χρυ-
σόπολιν, καὶ διὰ τοῦτο ἐκλήθη Βοσπόριον.

Τὸν δὲ πύργον, ὃς καλεῖται τὸ κεντηνάριον π
μέγαν καὶ περιφανῆ ἀνήγειρεν ὁ μέγας Κωνσταντῖνος,
καὶ ἐδαπάνησε κεντηνάρια. σεισμοῦ δὲ γενομένου,
καὶ τελείως χαλασθέντος, ἐκτίσθη παρὰ Θεοφίλου,
καθὰ νῦν ὁρᾶται. φέρει δὲ τὸ ἀρχαῖον ἐπώ-
νυμον.

Τὸ παλάτιον Πέτριον Πέτρος τις πατρίκιος ἐπὶ
τοῖς χρόνοις Ἰουστινιανοῦ τοῦ μεγάλου ἔκτισεν. ἔλε-
γον δὲ αὐτὸν καὶ Βαρσυαμιανὸν τὸν σύρον πολλὰς ἀρ- D
χὰς τῶν τότε ἀνύσαντα.

Ἡ δὲ μονὴ Ῥωμαίου ἐκτίσθη ἐν τοῖς χρόνοις τοῦ
120 Λέοντος Μακέλου παρὰ Αἵμονος πατρικίου τοῦ
Ῥωμαίου. εἰσελθὼν γὰρ εἰς τὴν πόλιν ἐκεῖσε ᾤ-
κει.

Ἡ μονὴ ἡ καλουμένη Προκοπίας, παρὰ Προκο-
πίας ἐκτίσθη τῆς θυγατρὸς Νικηφόρου τοῦ Σελευ-
κίωνος, καὶ γυναικὸς Μιχαὴλ Ῥαγγαβὲ τοῦ ἀπὸ
Κουροπαλατῶν.

Τὸν ἅγιον Εὐστάθιον ἔκτισεν Εἰρήνη ἡ Ἀθη-
ναία.

φιν, τότε δὲ προτείχισμα καλούμενον. ἐν οἷς καὶ πόρτα ἦν τὸ πρότερον ὑπὸ Κά- Edit. Paris. pag. 99.
ρου κατασκευασθεῖσα ἀνιώτεκας ἐποχημένην εἰς καρούχαν. ὡς δὲ ὁ Διακρινόμενος φη- 199.
σὶν, ὅτι ἐκ τῆς καλουμένης Μαγναύρας· ἐν οἷς ἐν τῷ φόρῳ τεθεῖσα καὶ πολλὰς,
ὡς προείρηται, ὑμνῳδίας δεξαμένη, εἰς τύχην τῆς πόλεως προσεκυνήθη παρὰ
πάντων, ἐν οἷς καὶ τὸ ἐξέρχεται. ἔσχατον πάντων τότε ὑψοῦτο ἐν τῷ κίονι, τοῦ
ἱερέως μετὰ τῆς λιτῆς παρεστηκότος, καὶ τὸ Κύριε ἐλέησον πάντων βοώντων ἐν ρ΄.
μέτροις. πολλὰ οὖν ὁ Διακρινόμενος ἄνωθεν τοῦ κίονος φάσκει πράγματα τεθεῖσαι,
ἔνθα ἡ στήλη ἵσταται. ἐν οἷς καὶ χαραγὴ βασιλικὴ Κωνσταντίνου ἡ λεγομένη σωτη-
ρίκιος χίλια κεντηνάρια. τότε εὐφημίσθη ἡ πόλις κληθεῖσα Κωνσταντινούπολις. τῶν ἱε-
ρέων βοώντων· εἰς ἀπείρους αἰῶνας εὐόδωσον ταύτην Κύριε. καὶ οὕτω μετὰ πολλῆς δο-
ρυφορίας ἐμμέτρους μ΄. ἡμέρας πανηγυρίσαντες, τοῦ βασιλέως σιτηρέσια πάμπολλα
τοῖς ὄχλοις χαρισαμένου, ἀπῆλθεν ἕκαστος ἐν τῇ ἰδίᾳ οἰκίᾳ. καὶ οὕτω τῇ ἐπαύ-
ριον τὸ γενέθλιον τῆς πόλεως γέγονε, καὶ ἱπποδρόμιον μέγα. πολλὰ ἀρκεῖ τε χα-
ρισαμένου, καταλείψας τὰ τοιαῦτα γενέθλια εἰς μνήμην αἰώνιον. ἐν τοῖς πλησίον
τοῦ σταυροῦ μέρεσιν, Κωνσταντῖνος ὁ μέγας ἐν τῷ θέρει αἰδίως διέτριβεν. ἔνθα Σε-
βήρου τοῦ υἱοῦ Κάρου ὑπῆρχε παλάτιον, καὶ ναὸς εἰδώλου Θεοῦ Σεβήρου ὀνομαζόμενον.
ἔνθα καὶ τέσσαρες συνεθεῖσαι καμάραι παμμεγέθεις καὶ αὐταὶ ὑπὸ Σεβήρου κατασκευα- 200.
σθεῖσαι πολλὰς μαντείας εἰς χρῆσιν οἱ ὁ μισμαῦν Θεῶν μακάρων καὶ Θεῶν βυτγά-
μων ἔχουσαι εἴδωλα ἀργυρᾶ τε, καὶ χαλκᾶ, καὶ ἐξ ἐλεφαντίνων καὶ μαρμάρων,
ὡς λόγος φέρει, πολλῶν. ὡς εἶχε φησὶ ἐν αὐταῖς ταῖς καμάραις, καὶ πόλεμος
Κωνσταντίνου γέγονε, καὶ Σεβήρου τὸν Ἐρκύλιον ἐνίκησε, καὶ ἐν ταῖς καμάραις τὴν
κεφαλὴν αὐτοῦ τε καὶ τῶν μεγιστάνων αὐτοῦ ἐπὶ ἑπτὰ ἡμέραις ἐκρέμασε, καὶ μετὰ ταῦτα
τὰ εἴδωλα συγκαλέσας εἰς μέρος αὐτουργικὰ ὑπάρχοντα ἐκ τῶν αὐτῶν μαρμάρων εἰς
θεῖον ἔστησε. ἐν αὐτῷ τῷ τόπῳ ἕως Ἰουλιανοῦ ἐτιμωροῦντο κακοῦργοι. ἐν τῷ αὐτῷ
τῷ τόπῳ ὑπερκειμένη πλάκα εἰς μῆκος ἄγαν καὶ ζῳδίοις ἀναγεγλυμμένοις τοὺς πολέμους
Κωνσταντίνου ἕως τοῦ τρίτου σεισμοῦ προέκειτο δεικνύουσα. Κωνσταντίνου στήλη ἐκεῖσε ἄνω-
θεν τῆς καμάρας τῆς πρὸς τὸ ἄνωθεν μέρος ἐτυποῦτο, τὸ σημεῖον τοῦ σταυροῦ ἐν τῇ
δεξιᾷ χειρὶ κατέχουσα.

Ἐν τοῖς φιλαδελφίου τῆς καλουμένης πόρτης μέρεσιν ἐνυπνιάσθη Κωνσταντῖνος. ἐκεῖ
πρῶτον πάντων τὸν τύπον τοῦ σταυροῦ ἐθεάσατο, τυπώσας αὐτὸν εἰς μῆκος καὶ πλά-
τος, ὡς ἴδεν, ἐν κίονι πορφυρῷ τετραπλεύρῳ χρυσώσας αὐτὸν, καὶ σημεῖον
σπόγγου ἐν τοῖς ποσὶ τοῦ σταυροῦ ἀσφαλισάμενος. τῆς μητρὸς Ἑλένης καὶ αὐτοῦ,
καὶ τῶν υἱῶν, ἐξ αὐτοῦ τετραπλεύρου κίονος ἀνατυπώσας, εἰς θρόνους ἐτίμησε. 201.
πολλὰς ὑπατείας ὁ μέγας Κωνσταντῖνος ἐν αὐτῷ τῷ τόπῳ πεποίηκε. ἐν αὐτῷ δὲ τῷ pag. 100.
τόπῳ ἐτιμήθησαν κεντυρίωνες, διὰ τὸ τὸν σταυρὸν ἐν πρώτῃ μήσει βαστάζειν γενόμενοι
ὑπεράνω Βαλλίστρων καθήσαντες.

Πολλὰς Κωνσταντῖνος στήλας ἐν τῷ φόρῳ προέθηκε, μεθ' ὧν καὶ ἐξ ἰδίας κατασκευῆς
ἕως λ΄. πρῶτος ὕπατος ἐν τῷ φόρῳ Καλλίστρατος ἐτιμήθη· καὶ ἕως βασιλείας Κων-
σταντίνου ὕπατοι κωδικέλλους ἐν τῷ φόρῳ ἐλάμβανον. ὁ δὲ Καλλίστρατος ὕπατος μεγά-
λως ἐτιμήθη ἐν τῷ φόρῳ, ὡς πρῶτος τὴν ἀξίαν τοῦ ὑπάτου δεξάμενος, τοῦ Πρασί-
νου μέρους βοῶντος· Καλλίστρατος εὐτυχὴς, καὶ εἰς ἄλλο προκόψει· ὁ δὲ φοβηθεὶς,
τῷ τοῦ ἁγίου τεμένει καταλαμβάνει, καὶ εἰσελθὼν ἐν αὐτῷ, ἐξήτει πρεσβείαν. πολλὰ
Κωνσταντῖνος τῷ Καλλιστράτῳ ἐξωμόσατο, μὴ ἀδικῆσαι. ὁ δὲ οὐκ [illegible], καὶ χειροτονη-
θεὶς πρεσβύτερος τῆς ἐκκλησίας ἐξέρχεται. ὃς καὶ ἐπισκόπησεν ὕστερον, ὅθεν μοι τὰ πολλὰ

ἐμφέρεται διηγήμασι. Εν τῷ ἱπποδρομίῳ ἀπετέθησαν εἴδωλα ἐκ τῆς Ρώμης ἥκοντα ὡσεὶ
ξ'. ἐν οἷς καὶ Αὐγούστου, ὡς οὐ γέγραπται μὲν, λέγεται δὲ τὸ ὁμοίωμα· πολλὰ ἡμῖν διε-
102. βεβαιοῦτο Φίλιππος ἔπαρχος, ὅτι ἐν τῷ ἱπποδρομίῳ ὑπάρχον ὁμοίωμα πιθαλικὸν κατα-
σκεύασμα ὑπάρχει Ποντίου τινος, τὸ ἄνωθεν τῆς βασιλικῆς καθέδρας ἱστάμενον. ἐν δὲ
τοῖς γυναικείοις ὁμοιώμασι τὸ πλησίον τῶν Μήδων τοῦ ἐλεγίου, αἱ γεννῶσαι θῆρας καὶ
ἀνθρώπους ἐσθίουσι, τὴν μὲν μίαν Ηρωδίαν μοι ἐτράνωσεν, Ιουστινιανοῦ τοῦ ἀθέα δηλοῦ-
σα τὴν ἱστορίαν. τὸ δεύτερον, ἐν οἷς καὶ πλεῖον ὑπάρχει, μὴ πληρωθῆναι, ἀλλὰ πε-
ριμένειν. ὅπερ ἀκούσας ἐδάκρυσα, εἰ ἄρα γε τοιοῦτον πάλιν τῇ Κωνσταντινουπόλει ἐπέλθῃ
ἀλόγημα. Ιουστινιανὸς ὁ μέγας ἐν τοῖς τῶν καθίσμασι κατ' ἔτος ἐποχεῖτο ἐν ἵππῳ χαλ-
κῷ μετὰ τὴν νίκην Μήδων. ἡ ἐν τῷ ἱπποδρομίῳ καθεζομένη γυνὴ ἐν σελλίῳ χαλκῷ,
καὶ αὐτὴ ἄνωθεν, ὡς προείπομεν, ὁ μὲν Ηρωδίαν ἐδίδαξε Βηρίναν εἶναι τοῦ μεγάλου Λέον-
τος. ὡς δὲ ἐγὼ παρὰ πλειόνων ἤκουσα, ἐξ Ἑλλάδος εἶναι τὸ εἴδωλον μᾶλλον τῆς Αθηνᾶς,
ὅπερ καὶ ἐπίστευσα· πολλὰ Φίλιππος ἱστόρησεν ὁ δυνάστης. μαθὼν καὶ τοῦτο παρέδωκεν,
ὅτι τὸ δρακοντεῖον, Αρκαδίου μὲν ἐκτύπωμα ἐστίν. Ονωρίου δὲ ἀδελφοῦ αὐτοῦ ἐπίδειξις, ἐν
Ρώμῃ βασιλεύοντος. ἔνθεν καὶ χρησμοὶ, καὶ πρὸ ἡμῶν, καὶ ἕως τῆς δεῦρο, οὐκ ὀλίγοι γε-
γόνασιν. ἡ δὲ ἄνωθεν τοῦ δρακονταίου ὕαινα ἀπὸ Αντιοχείας τῆς πρώτης εἰς Κωνσταντινούπο-
λιν ἐλήλυθεν, ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου, καθὼς ὁ προειρημένος Φίλιππος ἱστόρησεν.
ἐν τῷ ἱπποδρομίῳ πολλοὶ φόνοι καὶ κακὰ γεγόνασιν, καὶ μάλιστα ἐν τοῖς πρὸ ἡμῶν· ἐν
οἷς καὶ ἀοίδιμος Αναστάσιος ὁ μοναχὸς δι' ἀληθείας τρόπων ἀντιλέγων τῷ βασιλεῖ, ἐκαύ-
103. θη. Εὐδοκίας Αθηναΐδος κατὰ μοῖραν δικασθείσης, κατὰ χάριν ηὔρατο τύχην, καθ' ἣν οἱ
αὐτάδελφοι, τὸ ξένον τῆς συγγόνου ἀκηκοότες εὐτύχημα, ἀνελθεῖν συνεπειρῶντο φιλοσό-
φοις ζ'· καὶ τῇ τύχῃ ἐξ ἀτυχίας ἐδεήθησαν ἐλαθῆναι· Θεοδόσιος δὲ ὁ βασιλεὺς εἰς τὸ ἱπ-
πικὸν ἤλατο τοῖς φιλοσόφοις ἀρέσων. καὶ τίς αὐτῶν οὐκ ἐνέλιπεν. ἦσαν δὲ τὸν ἀριθμὸν
Edit. Paris. pag. 101. ζ'. Κράνος, Κάρος, Πίλοψ, Απελλῆς, Οὔλβανος, Κύρβος, Νερύας. οὗτοι συνῆσαν
εἰς τὸ ἱππικὸν τῷ Βασιλεῖ, θέας Ολυμπίων. ὁ δὲ βασιλεὺς Θεοδόσιος ὁρῶν τοὺς φιλο-
σόφους θαυμάζοντας, ἔφη πρὸς αὐτούς· ὦ φιλόσοφοι οἱ θαυμάζοντες, κατεφιλοσοφήθητε.
ὡς παραυτίκα ἀποκριθῆναι ἕνα ἐξ αὐτῶν, Απελλῆν ὀνόματι, καὶ εἰπεῖν, μὴ θαυμά-
ζειν ἐμὲ τοὺς ἵππους τῷ ἐπιβάτῃ. εἰδὼς ἀκριβῶς, ὅτι ἵπποι ἀνθρώπων ἐπιβάται γενή-
σονται, ἀλλασσομένων τῶν Ολυμπίων. καὶ τὸ θαυμάζον ἀμβλωπιάσει. Νερύας δὲ ἀπε-
κρίνατο, κακὸν τῇ βασιλίδι στοιχεῖον ὁρῶ. τὸ στοιχεῖον τοῖς στοιχείοις συντρέχοντα. καὶ
ὁ Ουλβανος ἰδὼν τὸ μεσημβρίας ζῴδιον, ὡς τὸ ἄνω τὸ γένυ κάμα δίκην κεκμηκότα ἔ-
φη καλὸς ὁ στοχασάμενος. καιροὶ γὰρ ἐπὶ τούτου ἀγόνατοι. ὁ δὲ Κύρβος ἐν τῷ δήμῳ ὁρῶν
εἶπεν, ὦ δῆμε δῖον δήμιοι περιστοιχῶσι. Πίλοψ δὲ, τοὺς ὅρους τῶν ἵππων ἰδὼν, εἶπε·
τίνος τὸ πρόβλημα; Θεοδοσίου δὲ φήσαντος, Κωνσταντίνου, εἰπεῖν ἐκεῖνον ἢ φιλόσοφος ἄ-
κυρος, ἢ βασιλεὺς οὐκ ἀληθής. ἑώρα γάρ τι ὁ φιλόσοφος θηλύμορφον ζῴδιον, τε-
104. τραμέρεσι ζωδιακοῖς γράμμασι γεγραμμένον, καὶ εἶπεν· ὦ τετραπέρατον, ἐξ οὗ ὁ Κων-
σταντῖνος, καὶ ἀπέραντοι ἔσονται. Κάρος δὲ προτραπεὶς παρὰ τοῖς φιλοσόφοις λαλῆσαι φη-
σί· δυστυχῆ μοι τὰ πάντα φαίνεται. ὅτι εἰ ταῦτα τὰ στοιχεῖα, ὡς πειρῶνται, ἀληθεύου-
σιν, ἵνα τί ἡ Κωνσταντινούπολις συνέστηκε. Κράνος δὲ, ὅστις καὶ λογιωθεὶς τῆς Αθηνῶν φι-
λοσοφίας ἐλέγετο, μηδενὶ ὢν ἐπικεκοινωνηκυῖα. Τοῦ δὲ βασιλέως πυνθανομένου, τίς ἡ αἰτία
** ατο ἐναργείᾳ τὸ πλεῖον γέλων εἰς κόπτειν. Νάρκισσος δὲ πραιπόσιτος δίδωσι τῷ φι-
λοσόφῳ ῥάπισμα, εἰπὼν πρὸς αὐτόν· τῷ ἡλίῳ ὡς ἡλίῳ ἀποκρίνου σκότος ὑπάρχων. τῶν δὲ καὶ
τῶν ἄλλων στρέψαντος, δίδωσιν ὁ Νάρκισσος. ὁ δὲ φιλόσοφος τῷ Ναρκίσσῳ ἔφη. οὐ γὰρ σὲ λα-
λήσω, ἀλλὰ τοῖς γράμμασι δυσωπούμενος. τὸ δὲ πρόβλημα τοῦ Κράνου τοιοῦτον ἐστίν· ἦπου
ὁ τῷ βασιλεῖ τὰ ἐν τῷ ἱππικῷ στοιχεῖα θεάσασθαι, καὶ τοῦ βασιλέως κελεύσαντος, εἵλετο εὐθὺς
ἐκεῖνος. ἐστὶ γὰρ ἀνδρεικελόν τι ἄγαλμα, ἐπικεφαλαίαν τῇ κεφαλῇ περιέχον, γυμνόν τοι ὅλως.
καὶ ἐν τοῖς Βρετγάνοις διδύμοις ἐπικεκαλυμμένον. τοῦ δὲ φιλοσόφου πυθομένου τίς ἂν
ἔφη ὁ στήσας; ἔφη τις ἀναγνώστης, ὅτι Ουαλεντινιανὸς τοῦτο προὔθηκεν. εἶπε δὲ
ὁ φιλόσοφος. ποτὲ καὶ τὸν ὄνον. τοῦ δὲ φήσαντος ὁμοῦ. εἰπεῖν ἐκεῖνον. ποτὲ ὄνος
ὡς ἄνθρωπος ἔσται, ὢ συμφορὰ, ὅτι ἄνθρωπος ὄνῳ ἀκολαθῇ. ἀλλὰ μὴ ἔσω τοῦ
105. μάντεως. τοῦτο τὸ πρόβλημα εὑρέθη ἐν τοῖς τόμοις τοῦ Λέοντος τοῦ μεγάλου, ὃ ἐφιλοσόφη-
σε Κράνος παρὰ Λογγίνου ἀστρονόμου, καὶ ὑπάτου τοῦ αὐτοῦ βασιλέως Λέοντος. Ασκληπιό-
δωρος ἐπὶ Αναστασίου ἰδὼν τὸ ζῴδιον τὸ μέγα, τὸ ἐν τῷ ἱππικῷ, τὴν χεῖρα
ἐπὶ τοῦ προσώπου κατέχον ἔφη· ὦ βία, ὅτι πᾶσα ἀνθρωπίνη ἔνδεια, εἰς μίαν ἀνθρώ-
που φρόνησιν ζυμωθεῖσα. καί τις αὐτῷ ἐπέδειξε γράμματα ἐν τῷ μαρμάρῳ. τοῦ δὲ ὑ-
παναγνῶντος ἔφη· ἀγαθὸν μὴ φθάσαι τοῖς τότε μέλλουσιν, *** εἶναι. ὡς κάματι κέρ-
δος τοῦ μὴ ἀναγνῶναι. Δέον γινώσκειν ὅτι ἡ στήλη ἡ καλυμμένη ταῦρος Θεοδόσιος ἐστὶν ὁ μέ-
pag. 102. γας, ἐν ᾗ ποτε ἐδέχετο ὁ βασιλεὺς τοὺς ἀπὸ τῶν ἐθνῶν δυνάστας. ἀργυραῖα δέ τις ἦν
πρώην, ὡς ὁ Σωζόμενος διδάσκει. Κλήμης δὲ τὰς ὁμοίας τὰς πολυμόρφους μαρμαρίνας
Κωνσταντίνου εἶναι φάσκει, τοῦ υἱοῦ Κώνστα. ὁ πίναξ *** ὁ λεγόμενος Λέων ὁ μέγας ἐστὶν,

ὁ παρὰ πολλοῖς μακελάριος λεγόμενος. καθ᾽ ἣν *** τὰ δεξάματα τῶν βασιλέων ἐκεῖσε
ἐγίνοντο. ἀλλὰ καὶ παλάτιον ἦν ποτε συνισάμενον, πλησίον τῆς παλαιᾶς ἐκκλησίας τῆς
ἁγίας Εἰρήνης. καθὼς Ἰωάννης ὁ Διακρινόμενος λέγει. Δέον γινώσκειν, ὅτι τὸ λεγόμε-
νον Αὐγουστεῖον, στήλας τρεῖς ὑποδέχεται, Κωνσταντίνου τὸ πρῶτον ἐν ᾧ *** καὶ βασιλικαὶ
ἦσαν κάτω ἐ. τοῦ κίονος Κωνσταντίνου, Κώνσταντος καὶ Κώνσταν ***. Κωνσταντος καὶ Λικι-
νίου, ἀλλὰ καὶ ὕστερον Ἰουλιανοῦ. ἐπὶ Θεοδοσίου σὺν τῇ μεγάλου στήλη ἑτέρα τῷ αἰῶνι δια-
δέχεται, ἀργυραῖα καὶ αὐτή. ἀλλὰ καὶ Ἀρκαδίου καὶ Ὀνωρίου ἀπ *** τῇ γῇ. ὡς ὁ Θεό- 206.
δωρος φησί· ἐν δὲ τοῖς σωζομένοις γράμμασι φησὶ, Ἰουστινιανός ἐστιν, ὁ νῦν καθορᾶται,
τὸ μέγιστον τοῦ φόρου ζώδιον. καθὰ φησὶ Θεοδώρητος καὶ Εὐσέβιος, ἐν οἷς δοκοῦσι σφά-
λεσθαι βιβλίοις, Ἑλλήνως εἶναι στήλην. καθ᾽ ἣν ἀφιερώσας ὁ μακάριος Κωνσταντῖνος δι᾽
εὐχῆς ἔστησεν. ἐν δὲ τοῖς Ἀπολιναρίου καὶ Ἀλεξάνδρου συγγράμμασι, Κωνσταντίνου εἶναι
τοῦ μεγάλου, καθὰ καὶ Μιλίχιος ὁ χρονογράφος ἐξηγήσατο. ἡ τρίπους ἡ ἐν τῷ στρατηγίῳ
τῷ μεγάλῳ καθὰ Προμουούτιος Ἀλέξανδρον λέγει εἶναι τὸν Μακεδόνα. ἐπίσταν δὲ καὶ ἐκ
τῶν γραμμάτων, καὶ ὅσοι τοῖς γράμμασιν αὐτοῦ ἐμφιλοχωροῦσι, μάλιστα οἱ ταῖς μαντείαις
στοιχειοῦντες, ἐπιγινώσκουσι τὸν Ἀλέξανδρον εἶναι. γράφει δὲ ὁ αὐτὸς, καὶ Κωνσταντῖνον
τὸν ἅγιον ἐκεῖ πρῶτον φόρον τῇ πόλει ταύτῃ ἀναστῆσαι. τὸ καλούμενον φιλαδέλφιον, Κων-
σταντίνου εἶναι τοῦ μεγάλου τοὺς υἱοὺς, ἀπὸ Γαλλίας τὸν ἕνα πρὸς τὴν Κωνσταντινούπολιν
ἐλθόντα μετὰ τὸν θάνατον τοῦ πατρὸς, μεγάλης τε ὑπαντῆς καὶ χαρᾶς γενομένης, ἀσπά-
σασθαι ἀλλήλους, καὶ παραυτοῦ στήλας αὐτῶν ἀνεγεῖραι τῇ πόλει τὸ σχῆμα ὑποσώζουσαν.
Ἰουλιανοῦ δὲ στήλη καὶ Ἀναστασίας τῆς αὐτοῦ γαμετῆς, ἣν διὰ τὸ εἶναι Χριστιανὴν ἐξέβαλε
τῆς βασιλείας. αὐτὴ δὲ ἐν τῷ μοναστηρίῳ τῶν Προμουούτου ἀπεκείρατο. αἱ δὲ αὐταὶ στῆλαι 207.
μέχρι τοῦ νῦν σώζονται ἐν τῷ φιλαδελφίῳ.

Ὁ λεγόμενος ξηρόλοφος στήλην μὲν εἶχε, καθὼς ὁ Διακρινόμενος λέγει, τοῦ μικροῦ Θεο-
δοσίου καὶ Βαλεντινιανοῦ κάτωθεν τοῦ κίονος καὶ Μαρκιανοῦ. σεισμοῦ δὲ γενομένου πεπτωκέ-
ναι τὴν στήλην, καὶ ὡς λόγος λέγει, ἀνελθεῖν αὐτὴν ἄνωθεν τῶν ἑπτὰ κιόνων. καὶ
ἀποστρέψαι Μαρκιανοῦ καὶ Βάλεντος ἐν τῷ τετραβασιλείῳ. ὁ λεγόμενος Νεώριος, ὁ καὶ Ἀρ-
κάδιος, ὃν κόνον ἐστοιχειώσατο, εὑρὼν τὸν τόπον πλείστοις πόνοις Κωνσταντίνου τοῦ μεγά-
λου πονηθέντα. ἐν ᾧ καὶ ἀγοραὶ τῶν θαλασσίων ἐμπορευμάτων πρώην ὑπῆρχον ἐκεῖ. ἐπὶ
Ἰουστινιανοῦ δὲ μετεποιήθησαν εἰς τὸν Ἰουλιανοῦ λιμένα. ὁ Ζεύξιππος τὸ λουτρὸν Σεβή-
ρος καλεῖται, ὑπὸ Σεβήρου γὰρ ἐκτίσθη. σὺν αὐτῷ δὲ καὶ τὸ ἱπποδρόμιον τὸ πρῶτον
ἔλαβε κτίσμα ἐν ὀλίγῳ. αἱ Κωνσταντιαναὶ ὑπὸ Κωνσταντίνου τοῦ μεγάλου ἐκτίσθησαν, καὶ Edit. Parif.
ἡ λεγομένη φοῦσσα. στῆλαι δὲ πολλαὶ οὖσαι ἐν Κωνσταντιαναῖς, διέπεσαν ἄξιαι θαύμα- pag. 103.
τος. ὁ ἀγωγὸς ὑπὸ Οὐάλεντος τοῦ Ἀρειανοῦ ἐκτίσθη, καθὼς γράφει Θεόδωρος. ἡ βασι-
λικὴ στέρνη ὑπὸ Κωνσταντίνου τοῦ μεγάλου. ἡ δὲ χαλκῆ στήλη ἡ ἐν τῇ βασιλικῇ κιστέρνῃ κα-
θημένη, Θεοδοσίου τοῦ μεγάλου ἐστίν. ἡ στήλη ἡ ὄπισθεν τῆς Μαγναύρας, κατὰ τὸ ἀνατολι- 208.
κὸν μέρος τοῦ ἡλιακοῦ μετεώρου, Φωκᾶ ἐστίν, καθ᾽ ἣν ἐν τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας
αὐτοῦ σπουδὴν πολλὴν περὶ τοῦ ἀνελθεῖν ἐπεδείξατο. μοναχός δέ τις ἐκ τῆς τοῦ ὁσίου Θεο-
δώρου τοῦ λεγομένου Σικεώτου μονῆς. κατὰ ταῦτα γὰρ καὶ ὁ μακάριος Θεόδωρος ἦν ἐν ταῖς ἡμέ-
ραις τοῦ αὐτοῦ Φωκᾶ, ἐπὶ Θωμᾶ τοῦ νέου Πατριάρχου Κωνσταντινουπόλεως, ὃς καὶ συνθήματα
ἐποίησε, παρακαλέσας τὸν ὅσιον Θεόδωρον εἰπεῖν τῷ Φωκᾷ. παύσασθαι ἐκ τῶν ἀπείρων
φόνων. ὃ καὶ ποιήσας ὁ ὅσιος, παρῄνει τῷ βασιλεῖ, μὴ ἀπανθρώπως χρῆσθαι τοῖς
ὑπηκόοις. ὁ δὲ βασιλεὺς ᾔτησε σημεῖον παρὰ τοῦ πατρὸς εἰς αὐτὸν γενέσθαι διὰ
τὴν ποδάγραν, καὶ παύσασθαι τῶν πολλῶν φόνων. δεξαμένου δὲ τοῦ ὁσίου ἐρρύσθη
τῆς νόσου. αὐτὸς δὲ οὐδὲ οὕτως ἐπαύσατο ἀποκτείνων. ὁ δὲ προειρημένος μοναχὸς ἐθάῤῥη-
σε τινὶ περὶ τοῦ Φωκᾶ, ὅτι κατὰ τὸν καιρὸν τοῦτον δεινῷ θανάτῳ θνήσκει, ἔτι φιλοσο-
φοῦντος Σεργίου τοῦ μετὰ τὸν νέον Θωμᾶν ἐπισκοπήσαντος. αὐτὸς γὰρ καὶ τῷ μοναχῷ ἐ-
θάῤῥησεν. ἔρχεται οὖν τοῦτο ἐν τοῖς ὠσὶ τοῦ βασιλέως Φωκᾶ, ὅτι τῆς στήλης ἑλκομένης,
καὶ τοσαύτῃ σπουδῇ ἐχρήσατο περὶ τῆς ἀναβάσεως τῆς στήλης. ὥστε καθὼς οἱ τότε ἐξηγή-
σαντο, ὅτι καὶ ἔτι πλείω φόνους αὐτὸν πεποιηκέναι. ἀλλὰ καὶ χρήματα πάμπολλα τοῖς ἕλ- 209.
κουσι ἐχαρίσατο πρὸς τὸ ταχῦναι. καὶ μετὰ ιε΄. ἡμέρας τοῦ σταθῆναι τὴν αὐτὴν στήλην,
κατηνέχθη τῆς βασιλείας, οὐδὲν ἄμεινον ὧν ἔπραξεν ἀπενεγκάμενος τὸν πικρὸν θάνατον.
Ἐν τοῖς λεγομένοις Μαρκιανοῦ, στήλη ἵστατο, ἐν ᾗ καὶ παράδοξον θέαμα γέγονε. σεισμοῦ
γὰρ γενομένου, καὶ παντὸς τοῦ τόπου ἐκείνου ἀπὸ θεμελίου φθαρέντος, καὶ τῆς στήλης πεσούσης
κάτω τοῦ κίονος, σταθῆναι αὐτὴν ὀρθὴν, ὡς οἱ πρὸ ἡμῶν ἐξηγήσαντο. δοκιμασθείσης
γὰρ τῆς στήλης εἰς τὸ ἀρχαῖον ἀνατεθῆναι ἔμεινεν ἄχθος βαρύτατον ἔχουσα. τοῦτο δὲ ἔλεγον
γενέσθαι ἕως πλειόνων καιρῶν. τὴν δὲ στήλην εὑρίσκομεν εἶναι Βαλεντινιανοῦ τοῦ νεωτέρου,
ὥς τινα φιλόσοφον διασαφίσασθαι τότε. διὰ τὸν ἄδικον θάνατον Βαλεντινιανοῦ τοῦ νεωτέρου
σημειωθῆναι τὴν στήλην. ἕως γὰρ τότε δικαίαν ψῆφον ἀπένεμον τὸν θάνατον τοῦ Ἀετίου. Ἐκ τῆς
λεγομένης Νικομηδείας στῆλαι πλεῖσται ἐν τῇ Κωνσταντινουπόλει ἥκασιν. ὅθεν καὶ Διοκλητιανοῦ ἐν
τῷ ἱπποδρομίῳ σώζεται ἕως τὸ δεῦρο, ἐπίχαλκος οὖσα, ἀναμέσον τοῦ λεγομένου καθίσματος.

Μαξιμιανοῦ στήλη ἐν τοῖς τῆς χαλκῆς μέρεσι ὑπάρχει βαρυτάτη πάνυ. ἔνθα καὶ τὸ γένος ἅ-
παν Θεοδοσίου τὸ ἄπαν καθορᾶται ἐν στήλαις, ἕως τῆς σήμερον. αἱ γοργονίδαι λεγόμεναι
τέσσαρες ἐκ τῆς Ἐφέσου ἥκασιν ἀπὸ τοῦ τῆς Ἀρτέμιδος ναοῦ. αἱ μετὰ τῆς σικὸν τῆς χαλκῆς πε-
Edit. Parij. pag. 104. 210. ριφέρονται. ἔνθα καὶ σταυροῦ σημεῖον ἄνωθεν αὐτῶν ἵσταται τῆς λεγομένης· Ἀρτέμιδος ἡ στήλη
ἐν τῷ ἱπποδρομίῳ ἵσταται, ἔνθα γυμνάζονται παλαίοντες. ἐν τῇ χαλκῇ πύλῃ τοῦ παλα-
τίου, Ζήνωνος καὶ Ἀριάδνης τῆς σώφρονος ἑκατὸν καὶ αἰσχρᾶς τὸ πρότερον, ἐν κίοσιν ἵστα-
ται πεζαὶ στῆλαι, ἰάμβους ἐλεγίους ἔχουσαι, παρὰ Σεκουνδου φιλοσόφου μετατεθεῖσαι. ἡ
στήλη ἡ πρὸς τὸ Ζεύξιππον θεωροῦσα, ἤτοι ἔμπροσθεν, Ιουστινιανοῦ καὶ Θεοδώρας ἐστίν.
καθ' ἣν καὶ ἐδοξάσθη Ιουστινιανὸς, ὅτε ἐτίθετο ἡ αὐτὴ στήλη, κράζοντος τοῦ Πρασίνου
μέρους· Ιουστινιανὸς καὶ Κωνσταντῖνος νέοι Ἀπόστολοι. ἐν οἷς καὶ Σοφία ἡ αὐτὴ γαμε-
τὴ παρὰ Πλουμβάτου φιλοσόφου ἰαμβικοῖς μέτροις τοὺς ἐπαίνους ἐδέξατο· ἡ ἐν τῷ πα-
λαιοτάτῳ λουτρῷ ὑπάρχουσα στήλη ἐκ χρωμάτων, ἤτοι τὸ Ζεύξιππον, Φιλιππικοῦ τοῦ
πρώην ἐστὶν, τοῦ κατ' ἄγνοιαν πλανηθέντος. ὡς δὲ ἔχει λόγος, τοιοῦτον αὐτὸν εἶναι,
οἷον τὸ πρωτότυπον, μεγάλως γὰρ ἐπήνεσαν οἱ ζωγράφοι τὸν γράψαντα, ὅτι οὐκ ἐχώρησε
τὴν τοῦ βασιλέως μορφὴν πρὸς τὸ ἀρχέτυπον. Ἐκ τοῦ λεγομένου Ικονίου στῆλαι ἥκασιν ἐν
Κωνσταντινουπόλει πλεῖσται. καθ' ἣν καὶ τοῦ Διὸς ἐν τῷ ἱπποδρομίῳ σώζεται. τὰ τέσσαρα
ἱππάρια τὰ χρυσόβαφα, τὰ φερόμενα ἄνωθεν τοῦ ἱππικοῦ, ἐκ τῆς Χίου νήσου ἥκασιν ἐπὶ
Θεοδοσίου τοῦ μικροῦ. ἐκ τοῦ προειρημένου Ικονίου, Περσέως στήλη καὶ Ἀνδρομέδας Θυγατρὸς
Βασιλίσκου ὑπαρχούσης, ὡς οἱ μῦθοι φασὶ καί τις τῶν ἱστορικῶν, δίδοσθαι θυσίαν τῷ
211. ἐκεῖσε ἐμφωλεύοντι δράκοντι. ὑπὸ γὰρ ἦν ἐκ παλαιᾶς συνηθείας, δίδοσθαι παρθένον κό-
ρην τῷ θηρίῳ, καθ' ἣν Ἀνδρομέδα δεθεῖσα, θανάτου αἰτία τῷ θηρίῳ ἔμελλε δίδοσθαι.
ὁ γοῦν προειρημένος Περσεὺς ἐκεῖσε ἥκων, πυνθάνεται κλαιούσῃ τῇ Ἀνδρομέδῃ, τί ἂν εἴη
δεδεμένη καὶ θρηνοῦσα; ἡ δὲ τὸ συμβὰν ἐξηγήσατο. τοῦ δὲ καθήσαντος ἐκεῖ τὸ θηρίον·
αὐτὸς δὲ Γοργόνης κεφαλὴν ἐν πείρᾳ κατέχων, ὀπισθοφανῶς στραφεὶς, δείκνυσι θηρίῳ,
ὅπερ ἰδὼν ἐκεῖνος ἀπέψυξεν. ἐκλήθη οὖν Ικόνιον παρὰ Λογιστοῦ φιλοσόφου ἡ πόλις, ἀπὸ
τὸ ἱκέσθαι τὸν Περσέα καὶ σῶσαι τὴν Ἀνδρομέδαν. φόνοις ἀτύχημα τῇ πόλει ἐκ τοῦ ἥ-
κοντος Περσαίου. ἣν δὲ ὄνομα τῇ πόλει, τὸ ἀπὸ γενέσεως Δορία· ἔπειτα ἐκλήθη Θρυαν-
δία. παρὰ δὲ Φιλοδώρου τοῦ Λογιστοῦ, ἐκ τοῦ ἥκειν τὸν Περσέα ἐκλήθη Ικόνιον· ἔνθα ἐ-
τελειώθη ὁ αὐτὸς Περσεὺς σὺν τῇ Ἀνδρομέδῃ ἐπάνω τῆς πόρτης τῆς πόλεως. καθ' ἣν
καὶ θυσίαι πολλαὶ γεγόνασιν ἐκεῖσε παρὰ Δεκίου, καὶ Διοκλητιανοῦ, καὶ Μαξιμιανοῦ.
ἔνθα πλεῖστοι ἅγιοι ἐμαρτύρησαν. ἥκασιν οὖν τοῦ Περσέως καὶ Ἀνδρομέδας αἱ στῆλαι,
ὡς λόγος ἔχει, ἐπὶ Κωνσταντίου, μετὰ τὸ πληρωθῆναι τὴν Ἀντιοχέων ἐκκλησίαν. Ἐν τῷ
212. Κωνσταντιαναῖς λουτρῷ Ἀναστασίου στήλη ὑπάρχει, ἡ ὄπισθεν τοῦ ἁγίου μάρτυρος Μίνα,
ἥτις στήλη ἐστάθη μετὰ τὸ παύσασθαι τὴν βοοθυσίαν τῶν εἰδώλων· καὶ γενέσθαι πορνεῖον τὸν
τόπον, τοῦ βασιλέως τοῦτο κελεύσαντος, ἐπὶ τὸ ἀτιμασθῆναι τὸν τόπον. ἐν τῇ χαλκίνῃ
Ἀετίου κιστέρνῃ, ἥτις ὑπὸ Ἀετίου Πατρικίου κτισθεῖσα ἐν ταῖς ἡμέραις Βάλεντος. ἔνθα ἡ
pag. 105. στήλη αὐτοῦ τοῦ Βάλεντος ἐν τῇ κιστέρνῃ σώζεται, δορυφορούσης αὐτὴν τοῦ Ἀετίου. ἡ λεγομέ-
νη Ἄσπαρος, ἐπὶ Ἄσπαρος, καὶ Ἀρδαβουρίου, τῶν ἐπὶ Λέοντος τοῦ μεγάλου, οἰκοδομεῖ-
ται. καθ' ἣν Ἄσπαρ καὶ Ἀρδαβούριος, πληρωθείσης αὐτῆς, τὸν ὄλεθρον ὑπομείνουσι.
τὴν λεγομένην Κράνου νῆσον ἐστοιχειώσατο Βερῖνα, καθ' ἣν οὐδεμία εὑρίσκεται φροντὶς,
τίνος χάριν ταύτην στοιχειοῦται. ἐν δὲ τῷ στοιχειωθῆναι τὴν αὐτὴν νῆσον, ἀθρόως θάνα-
τοι γεγόνασι πλεῖστοι, ὅθεν ἠρήμωται διαρκέσασα μέχρι τῶν χρόνων Ιουστινιανοῦ τοῦ τρίτου,
τὴν θάλασσαν προστάξαντος ἀναπλεῦσαι ἐν αὐτῇ εἰς τέλειον ἀφανισμόν.

ΤΕΛΟΣ.

MANUELIS CHRYSOLORÆ EPITAPHIUM

CONSTANTIÆ AD ARAM.

MANVEL CHRYSOLORAS

MILES CONSTANTINOPOLITANVS,

EX VETVSTO GENERE ROMANORVM,

QVI CVM CONSTANTINO IMP. MIGRAVIT,

VIR DOCTISSIMVS, PRVDENTISS. OPTIM.

QVI TEMPORE GENER. CONCILI CONSTANTIENS.

DIEM OBIIT,

EA EXISTIMATIONE,

VT AB OMNIBVS SACERDOTIO DIGNVS HABERETVR.

DIE XV. APRIL. CONDITVS EST ANNO M. CCCC. XV.

Ille ego qui Latium priscas imitarier artes
Explosis docui sermone ambagibus , & qui
Eloquium magni Demosthenis & Ciceronis
In lucem retuli , CHRYSOLORAS *nomine notus*,
Hic situs , emoriens peregrina sede quiesco ,
Huc me Concilii deduxit cura , trium dum
Pontificum Ecclesiam vexaret schisma per orbem.
Roma meos genuit majores , me bona tellus
Byzantina tulit , cineres Constantia servat.
Quo moriare loco nil refert : undique cęlum
Pœnarumque locus mensura distat eadem.

Edit. Parif. pag. 107.

ΤΟΥ ΛΟΓΙΩΤΑΤΟΥ

ΜΑΝΟΥΗΛ

ΧΡΥΣΟΛΩΡΑ

ΕΠΙΣΤΟΛΗ

ΠΡΟΣ ΤΟΝ ΙΩΑΝΝΗΝ ΒΑΣΙΛΕΑ,

ΕΝ Η ΣΥΓΚΡΙΣΙΣ ΤΗΣ ΠΑΛΑΙΑΣ καὶ νέας Ῥώμης.

ERUDITISSIMI VIRI

MANUELIS CHRYSOLORÆ

EPISTOLA

AD JOANNEM IMPERATOREM,

QUA VETERIS AC NOVÆ ROMÆ comparatio continetur.

ΑΡΙΣΤΕ Βασιλεῦ, ἃ μὲν ἔδει διὰ πολλῶν πρὸς A τὸ σὸν κράτος ἀπαγγεῖλαι, ἐν ἄλλοις γέγραφα, ἃ καὶ αὐτὰ εἰκὸς ἀφίξεσθαι μετὰ τῶν παρόντων. μᾶλλον δὲ πολλὰ μὲν πρότερον ἐντεῦθεν γέγραφα, οὐκ ὀλίγα δὲ εὐθὺς πρὸ τούτων. ἔδοξε δὲ ὅμως καὶ ταῦτα προσθεῖναι ἡδονῆς, οὐ χρείας ἕνεκεν. ἣν οὐ μικρὰν οἶδα καρπούμενος ἐκ τοῦ τοὺς ἐμοὺς λόγους πρὸς τὴν σὴν θειότητα ἀναφέρειν. ὕλην δὲ τῶν παρόντων λόγων, ἀπὸ τῆς πόλεως ταύτης λήψομαι. ἣν πρότερον μὲν ἀπὸ τῶν ἱστορουμένων περὶ αὐτῆς ἐθαύμαζον. νῦν δὲ ἀπ' αὐτῆς τῆς ὄψεως γενέσθαι θαυμασιωτέραν, ἢ ὡς ἄν τις ἁπλῶς εἰκάσειεν ἀπὸ τῶν λεγομένων περὶ αὐτῆς κρίνω. καίτοι εἴρηται μὲν ἀληθῶς μέγιστα περὶ αὐτῆς οὐ μόνον παρὰ τῶν τῇ πατρίῳ φωνῇ περὶ τούτων συγγεγραφό- B των, ἀλλ' ἤδη καὶ παρὰ τῶν ἡμετέρων σχεδὸν πάντων, καὶ τῶν ἐλλογίμων, ὅσοι κατ' αὐτὴν γεγόνασιν. ὥστε τοὺς μὲν λόγους ὅλους, τοὺς δὲ βιβλία, ὡς οἶσθα, ἐγκώμια αὐτῆς καταλιπεῖν. ἄλλοι δὲ ἐν βραχέσι, μέγιστα περὶ αὐτῆς εἰρήκασιν, οἷον καὶ τὸ τοῦ σοφιστοῦ ἐκείνου τοῦ πάνυ φίλου καὶ οἰκείου, ὅπερ ἐν ὀλίγῳ μέγιστον ἐκεῖνος ἐν ἐπιστολῇ πρός τινα φασὶ περὶ αὐτῆς, οὕτω πως εὐθὺς ἐν ἀρχῇ τῆς ἐπιστολῆς, εἰ καλῶς μέμνημαι τῶν ῥημάτων αὐτῶν, λέγων. Ἆρα μέμνησαι ἡμῶν εἰς Ῥώμην ἀπάρας, καὶ θεώμενος, οἷα οὐ πρότερον πείθων τε σαυτὸν ὡς οὐκ ἔστι γῆ αὕτη, ἀλλ' οὐρανοῦ μέρος τι. ἡμᾶς μὲν γάρ σε μεμνῆσθαι θαυμαστὸν οὐδέν. ἐν γὰρ τοῖς αὐτοῖς ἡμεῖς καὶ οὐδενὶ καινῷ κα- C ταφρονοῖμεν ἂν τῶν φίλων. καίτοι πρὸς Ἕλληνα δήπου ταῦτα ἔγραφεν, ἢ Σύρον, καὶ αὐτοῦ πολίτην, οὐ μέμνημαι γὰρ καλῶς τοῦ ὀνόματος ἐκείνου. ἀκούομεν δὲ τὸ τῆς Ἀντιοχείας κάλλος παρὰ πολλῶν τε ἄλλων, καὶ αὐτοῦ δὲ ἐκείνου, ἐν οἷς ἐπὶ τοῦ ὁμωνύμου ταύτῃ λόγου, ἐγκώμια τῆς

DE quibus prolixius ad te referendum erat, Optime Imperator, ea aliis litteris perscripsi, quas una cum hisce ad te pelatum iri puto: quin imo cum multa quidem jam ante hinc ad te scripserim, & non pauca etiam nupertimis litteris: placuit tamen & hæc subjungere voluptatis, non utilitatis gratia: quam non exiguam me percipere sentio dum mea scripta sacræ tuæ Majestati offero. Materiam vero præsentis scriptionis ex hac urbe ca- *pag.* 108. piam, quam antea quidem ex aliorum relationibus admirabar: sed nunc ex ipsa inspectione multo eam magis admirandam judico, quam ex iis quæ de illa narrantur simpliciter aliquis conjiciat. Et sane maxima de ea referuntur, non ab iis solum qui vernacula lingua hisce de rebus scripsere; sed etiam a nostris ferme omnibus, maxime a viris doctis, qui in ea versati fuere: ita ut alii quidam orationes integras, alii libros de ejus laudibus, ut nosti, reliquerint. Alii autem paucis verbis maxima de ea dixerunt: quale & hoc Sophistæ illius tibi admodum chari & familiaris, quod in epistola quadam brevi verborum ambitu maximum de ea pronunciat, hisce verbis, si recte memini, in principio epistolæ usus: Fac nostri memoriam serves postquam Romam pervenisti, atque istiusmodi vides, qualia ante non videras; non terram illam, sed cæli particulam esse tibimet ipsi persuadens. non enim mirum est nos tui meminisse. nam dum semper in iisdem, neque alia in re nova versamur amicos respiceremus. atque hæc ad Græcum vel Syrum, civemque suum scripsit: nomen enim ipsum non satis recordor; cum tamen Antiochiæ pulchritudinem cum ab aliis multis, tum ab eodem Auctore celebrari audimus, ea

oratione qua patriæ suæ laudes commemorat, cui ab eadem nomen imposuit. quin & alius ejusdem civitatis, nunc vero etiam cælorum civis, cujus os atque lingua ab auro cognomen accepere, plurima passim de ea prædicat. vel ad eorum aliquem qui Asiam eo tempore incolebant: in qua Rhodus tunc erat & Smyrna, & pulcherrima orbis terrarum signa. erat quoque in eadem Ephesium Dianæ templum, & colossus Rhodius, & in Halicarnasso Mausoli sepulchrum. quorum omnium aut plerorumque reliquiæ tum adhuc conspiciebantur. aut si velis ex Ægypto vel Lybia eum fuisse ponamus: in qua Alexandrinam civitatem, & inter celebriora spectacula Thebas illas centum portis inclytas ac pyramides fuisse audimus: quarum umbras sole exoriente & occidente fere ad aliquot dierum iter projici ajunt: & quarum una eaque minima ipsam Memphim atque omnia vicina loca jam inde ab illo tempore & adhuc nostra ætate ad quamcumque structuram non secus ac lapidicinis uti referunt, ita tamen ut numquam deficiat, quinimo integris, ut ajunt, civitatibus vicisque ex ea exstructis, vix exiguam ejus particulam

Edit. Paris. pag. 109.

consumsere. Verisimile autem erat, quicumque demum fuerit, illum eum Romam navigaret, insulas ac Græciam obiisse: nec a vero abhorret eum jam antea Græciam perlustrasse, & Græciæ tunc temporis ocellum, Athenas. vel ex ipsa Græcia oriundum esse oportebat: neque illum de vulgo aliquem, qui hujusmodi nec vidisset, nec audivisset umquam; sed quemdam ex eruditioribus, cum quo litterarum commercium ei intercederet: & qui ipse ejusmodi spectaculis atque itineribus delectaretur. Quidnam ergo illud erat quod adeo eum posset percellere, ut Græciæ rerumque in ea visu dignarum oblivisceretur, videns qualia ante non viderat: & ipsam, & relictos in ea amicos contemneret: ac sibimet persuaderet non terram illam, sed cæli particulam quamdam esse? quare in utraque, ut dixi, lingua, maxima de ea prodita fuerunt. quin & barbaros ipsos, quotcumque litterarum non plane expertes sunt, plurima de illa in scriptis habere existimo. Sed ego qui hæc ad hyperbolen ab iis dici putabam, nunc nihil supra quam res habet dici video: talia sunt ea quæ videntur. licet nihil ferme integrum salvumque in ea remanserit; nec quicquam omnino ab injuria immune reperire liceat: cum alia quidem sua sponte præ temporis vetustate collapsa, alia violentas quorumdam manus experta fuerint. nam & huic Urbi idem quod nostræ accidit, ut ipsa sibi metallorum ac lapicidinarum loco esset: & quod de universo hoc dicimus, ipsa a seipsa nutriretur & consumeretur. Defecit autem ferme in omnibus: nihilominus in ipsis etiam ruinis ac ruderibus apparet qualis principio fuerit, tum structurarum magnitudo & pulchritudo. Quid enim in ea non pulchrum fuit? nec solum integra & conjuncta pulchra erant, sed disjecta quoque ac divisa pulchra apparent. quemadmodum in integro corpore pulchro manus vel pes, vel caput pulchrum est: & in magno corpore unum-

A πατρίδος γράφει. καὶ ἄλλος δὲ αὐτῆς πολίτης, νῦν δὲ καὶ τῶν οὐρανῶν πολίτης, οὗ τὸ στόμα καὶ ἡ γλῶττα ἔτυχον τῆς ἀπὸ τοῦ χρυσοῦ προσηγορίας, πλεῖστα πολλαχοῦ λέγει περὶ αὐτῆς. ἢ πρός τινα τῶν τὴν Ἀσίαν τότε οἰκούντων, ἐφ' ἧς Ῥόδος ἦν τότε καὶ Σμύρνα, καὶ τὰ ἀγάλματα τῆς οἰκουμένης. γεγόνασι δὲ ἐν ἐκείνῃ, καὶ ὁ ἐν Ἐφέσῳ τῆς Ἀρτέμιδος ναὸς, καὶ ὁ ἐν τῇ Ῥόδῳ κολοσσὸς, καὶ ὁ ἐν Ἀλικαρνασσῷ τοῦ Μαυσώλου τάφος, ὧν πάντων ἢ τινῶν ἔτι λείψανα ἑωρᾶτο. εἰ βούλει δὲ θῶμεν ἐκεῖνον ἐξ Αἰγύπτου καὶ Λιβύης εἶναι, ἐφ' ἧς ἀκούομεν τὴν Ἀλεξάνδρου πόλιν, καὶ τῶν ὑμνουμένων θεαμάτων τὰς ἑκατονπύλας Θήβας ἐκείνας καὶ πυραμίδας γεγενῆσθαι. ὧν τὰς B σκιὰς ἀκούομεν ὁδὸν τινῶν ἡμερῶν ὡς εἰπεῖν εἶναι, ἀνίσχοντος τοῦ ἡλίου καὶ δυομένου· καὶ ὧν μιᾷ καὶ τῇ σμικροτάτῃ λέγεται, τὴν Μέμφιν αὐτὴν καὶ τοὺς περιοίκους πάντας τόπους ἐξ ἐκείνων τῶν χρόνων ἔτι καὶ νῦν πρὸς πᾶσαν οἰκοδομὴν ἴσα καὶ λατομίαις χρῆσθαι, καὶ μὴ ἐπιλείπειν. μᾶλλον δὲ πόλεις ὅλας καὶ συνοικίας, ὥς φασιν, ἐξ αὐτῆς οἰκοδομοῦντες, μόλις βραχύ τι μέρος ἐκείνης ἀνηλωκέναι. εἰκὸς δὲ ἦν ἐκεῖνον, ὅς τίς ποτε ἦν, πλέοντα εἰς Ῥώμην καὶ διὰ τῶν νήσων καὶ τῆς Ἑλλάδος ἀναχθῆναι. καὶ πρότερον δὲ εἰκὸς ἦν αὐτὸν τὴν Ἑλλάδα ἰδεῖν, καὶ τὸν τῆς Ἑλλάδος τότε ὀφθαλμὸν, τὰς Ἀθήνας C λέγω. ἢ τινὰ ἔδει τοῦτον τῶν ἀπὸ τῆς Ἑλλάδος εἶναι. καὶ τοῦτον οὐ τῶν πολλῶν καὶ ἀθεάτων ἢ ἀνηκόων τῶν τοιούτων, ἀλλὰ τῶν πεπαιδευμένων, πρὸς οἷον ἐκεῖνόν τε γράφειν εἰκὸς ἦν, καὶ αὐτὸν τοῖς τοιούτοις θεάμασι καὶ ταῖς τοιαύταις ἀποδημίαις χαίρειν· τί τοίνυν ἄρα ἦν ἐκεῖνο, ὃ τοῦτον τοσοῦτον ἔμελλεν ἐκπλῆξαι; ὥς τε τῆς Ἑλλάδος καὶ τῶν ἐν αὐτῇ θεαμάτων ἐπιλαθέσθαι, θεώμενον οἷα οὐ πρότερον, καὶ αὐτῆς καὶ τῶν ἐν αὐτῇ φίλων καταφρονῆσαι. πεῖθειν τε αὐτὸν ὡς οὐκ ἔστι γῆ αὕτη, ἀλλ' οὐρανοῦ μέρος τι; εἴρηται οὖν, ὅπερ εἶπον, παρ' ἀμφοτέρων τῶν γλωσσῶν πάνυ μέγιστα περὶ αὐτῆς. οἶμαι δὲ καὶ τοὺς βαρβάρους αὐτοὺς, ὅσοι μὴ D γραμμάτων παντελῶς ἄμοιροι, πλεῖστα περὶ αὐτῆς ἔχειν ἐν συγγραφαῖς. ἀλλ' ἐγὼ ᾤμην ταῦτα παρ' ἐκείνων πρὸς ὑπερβολὴν λέγεσθαι· νῦν δὲ ὁρῶ μηδὲν πρὸς ὑπερβολὴν εἰρῆσθαι, τοιαῦτά ἐστι τὰ ὁρώμενα. καί τοι μεμένηκε μὲν οὐδὲν σχεδὸν σῶον ἐν αὐτῇ, οὐδ' ἂν εὕροις τι ἀθῷον παντάπασιν ἐπηρείας· τῶν μὲν αὐτομάτως ὑπὸ χρόνου κατερρυηκότων, τῶν δὲ χερσί τινων βεβιασμένων. συμβέβηκε γὰρ καὶ ταύτῃ, ὅπερ καὶ τῇ ἡμετέρᾳ πόλει, αὐτὴν ἑαυτῇ ἀντὶ μετάλλων καὶ λατομιῶν εἶναι, καὶ ὅπερ ἐπὶ τοῦ παντὸς τούτου λέγομεν, αὐτὴν ὑφ' ἑαυτῆς τρέφεσθαι καὶ ἀναλοῦσθαι. κέκμηκε δὲ ὡς εἰπεῖν ἐν πᾶσι· φαίνεται δὲ ὅμως καὶ ἐν αὐτοῖς E τοῖς ἐρειπίοις καὶ κολωνοῖς, οἷα ἐξ ἀρχῆς γέγονε, καὶ τὸ τῶν οἰκοδομιῶν μέγεθος καὶ κάλλος. Τί γὰρ οὐκ ἦν τῶν ἐν αὐτῇ καλόν; καὶ οὐ μόνον συγκείμενα καὶ συνεστηκότα ἦν ἄρα καλὰ, ἀλλὰ καὶ διαιρεθέντα καλὰ φαίνεται. οἷον σώματος ὅλου καλοῦ, χεὶρ ἢ ποῦς, ἢ κεφαλὴ καλή. καὶ μεγάλου σώματος, ἕκαστον τῶν μελῶν μέγα. οὐκ ὀλίγα δὲ αὐτῶν καὶ τῶν πλει-

τῷ μέρει μεμένηκε. καὶ πολλὰ δὲ τῶν ἐν τῇ Ἑλλάδι γε- A
γονότων, ὡς ἔνεστιν ἀπὸ τῶν ἐν αὐτοῖς γραμμάτων ἰ-
δεῖν, ἐν αὐτῇ δείκνυται. κίονες καὶ λίθοι περιφα-
νεῖς, καὶ στῆλαι καὶ ἀγάλματα, καὶ ἀνδριάντες, καὶ
γράμματα πλεῖστα Ἑλληνικὰ, τοῦ καλλίστου καὶ ἀρ-
χαίου τύπου. πολλὰ δὲ καὶ τῇδε ἐν αὐτῇ παρ' Ἑλ-
λήνων γέγονεν, ὡς ἔξεστιν ἀπὸ τῶν ἐπιγραφῶν ἰδεῖν·
καὶ φαίνεται τούς τε πολίτας αὐτῆς, ὡς παρὰ τῶν
ἱστοριῶν ἀκούομεν, σφόδρα τοῖς Ἑλληνικοῖς ἥδεσθαι,
καὶ πλείστους τῶν ἡμετέρων Ἑλλήνων ἐν αὐτῇ γενέ-
σθαι. οὐ μόνον δὲ τὸν πλοῦτον καὶ τὴν πολυχειρίαν,
καὶ τὴν τέχνην, εἰ δὲ βούλει τὸ μέγεθος καὶ τὸ ἀ-
ξίωμα, ἔτι δὲ τὸ φρόνημα καὶ τὴν φιλοκαλίαν καὶ
ἁβρότητα καὶ πολυτέλειαν τῆς πόλεως· ἔστιν ἀπὸ τῶν B
λειψάνων τύπων τῶν ἀνδριάντων, καὶ κιόνων, καὶ
τάφων, καὶ οἰκοδομῶν ἰδεῖν. ἀλλὰ καὶ τὴν δεισιδαιμο-
νίαν αὐτῆς, καὶ τὴν μεγαλοψυχίαν, καὶ φιλοτιμίαν,
καὶ τὴν γνώμην, καὶ τὰς νίκας, καὶ τὴν πᾶσαν εὐ-
δαιμονίαν, καὶ ἡγεμονίαν, καὶ ἀξίαν, καὶ τὴν ἐν τοῖς ὅ-
πλοις πεῖραν. οὐ γὰρ μόνον ἀγωγοὺς ὑδάτων ἀερίους
ἔξεστιν ὁρᾶν πόῤῥωθεν ἐρχομένων, καὶ τειχῶν ὄγ-
κον, καὶ στοὰς, καὶ βασίλεια, καὶ βουλευτήρια,
ἔτι δὲ ἀγορῶν, καὶ βαλανείων, καὶ θεάτρων πλῆθος
τε, καὶ μέγεθος, καὶ κάλλος· ἀλλὰ καὶ ναοὺς περιφανεῖς
πολλοὺς καὶ συνεχεῖς, ἄλλους ἀπ' ἄλλης προσηγορίας
ὀνομασμένους, καὶ ἱερὰ, καὶ ἀγάλματα, καὶ ἀνδριάν-
τας, καὶ τεμένη, καὶ στήλας τῶν παλαιῶν ἐκείνων καὶ C
περιφανῶν ἀνδρῶν, οἵτινες ὑπὲρ τῆς πόλεως τι εἰρ-
γάσαντο, ἐκείνοις παρὰ τοῦ δημοσίου γενομένας, καὶ
ἀριστεῖα, καὶ γεφύρας θριαμβικὰς, εἰς ὑπόμνημα τῶν
θριάμβων ἐκείνων καὶ τῶν πομπῶν πεποιημένας. αὐτῶν τῶν πο-
λέμων, καὶ τῶν αἰχμαλώτων, καὶ τῶν λαφύρων, καὶ τῶν τει-
χομαχιῶν ἐγκεκολαμμένων, ἔτι δὲ ἱερείων ἐν αὐταῖς
καὶ θυσιῶν καὶ βωμῶν γλυφὰς καὶ ἀναθημάτων. πρὸς
δὲ τούτοις ναυμαχίας, καὶ πεζομαχίας, καὶ ἱππομα-
χίας, καὶ πᾶν εἶδος, ὡς εἰπεῖν, μάχης, καὶ μη-
χανημάτων τε, καὶ ὅπλων, καὶ τοὺς ἡττημένους δυνά-
στας Μήδους τυχὸν, ἢ Πέρσας, ἢ Ἴβηρας, ἢ Κελτοὺς,
ἢ Ἀσσυρίους, καὶ τὴν αὐτῶν στολὴν ἑκάστους καὶ τὰ δεδουλω-
μένα γένη, καὶ τοὺς θριαμβεύοντας ἐπὶ τούτοις στρατη- D
γοὺς, καὶ τὸ ἅρμα, καὶ τὰ τέθριππα, καὶ τοὺς ἡνιόχους καὶ
τοὺς δορυφόρους, καὶ τοὺς ἑπομένους λοχαγοὺς, καὶ τὰ προ-
ϊόντα σκῦλα, ἅπαντα ὡσανεὶ ζῶντα ἐπὶ τῶν εἰκόνων
ἐστὶν ἰδεῖν, καὶ συνεῖναι τί ἕκαστον ἦν, διὰ τῶν ἐν
αὐτοῖς γραμμάτων. ὥστε δύνασθαι σαφῶς ὁρᾶν
τίσι μὲν ὅπλοις, τίσι δὲ στολαῖς ἐχρῶντο τὸ πα-
λαιὸν, τίσι δὲ ἐπισήμοις τῶν ἀρχῶν, ὁποίαις δὲ πα-
ρατάξεσι, καὶ μάχαις, καὶ πολιορκίαις, καὶ στρατοπέ-
δοις· τίσι δὲ ἄρα ἢ θέσεσιν, ἢ περιβολαῖς, εἴτε
ἐπὶ στρατείας, εἴτε οἴκοι, εἴτε ἐν ἐκκλησίαις, εἴτε
ἐν βουλευτηρίῳ, εἴτε κατ' ἀγορὰν, εἴτε ἐν γῇ, εἴτε
ἐν θαλάττῃ, εἴτε ὁδοιποροῦντες, εἴτε πλέοντες,
εἴτε πονοῦντες, εἴτε ἀσκοῦντες, εἴτε θεώμενοι, εἴ- E
τε ἐν πανηγύρεσιν, εἴτε ἐν ἐργαστηρίοις, καὶ ταῦτα
καὶ τὰς τῶν ἐθνῶν διαφοράς. ὧν ἕνεκα ἐκθεὶς Ἡ-
ρόδοτος καὶ ἄλλοι τινὲς τῶν ἱστορίας συγγραψαμέ-
νων, δοκοῦσί τι προὔργου πεποιηκέναι. ἀλλ' ἐν τού-
τοις, ὥσπερ κατ' ἐκείνους τοὺς χρόνους ὄντα, καὶ ἐν δια-
φόροις ἔθνεσι γινόμενα πάντα ὁρᾶν ἔξεστιν, ὥστε ἱ-
στορίαν τινὰ πάντα ἁπλῶς ἀκριβοῦσαν εἶναι· μᾶλ-

Man. Chrys. Epist.

A quodque membrum magnum. Sed non
pauca horum etiam maxima sui parte
remanserunt: tum multa eorum quæ
in Græcia olim extitere, ut ex inscri-
ptionibus videre licet, in ea visuntur:
columnæ, lapides eximii, statuæ, si-
gna, imagines, plurimæque inscriptio-
nes Græcæ, pulcherrimæ ac veteris
notæ. multa quoque hic ipsa Urbe
a Græcis facta fuere, ut ex inscriptio-
nibus videre est. & cives ejus, ut ex
historiis cognoscimus, vehementer re-
bus Græcis fuisse delectatos, plurimos- Edit. Paris. pag. 110.
que nostrorum Græcorum in ea vixis-
se apparet. Verum non opes solum &
dexteritatem, atque artificium, aut si
velis magnitudinem ac majestatem, tum
B etiam prudentiam, splendorem, & lu-
xum atque profusionem urbis ex hisce
statuarum, columnarum, sepulchro-
rum, atque ædificiorum reliquiis perspi-
cere licet: sed & superstitionem ejus &
magnanimitatem, & ambitionem, tum
sententiam, victorias, atque univer-
sam felicitatem, item imperium, di-
gnitates & armorum peritiam. nam
non solum sublimes aquæ ductus a lon-
ginquo adventantes videre licet, &
murorum crassitiem, tum porticus, re-
giasque ædes, & curias, & fora, & ther-
mas, & theatra ob numerum, & magni-
tudinem, atque pulchritudinem con-
spicua: verum & templa splendida mul-
ta & frequentia, alia aliis cognomini-
bus insignita: item fana, signa, ima-
C gines, delubra & statuas veterum illo-
rum & illustrium virorum, ob merita
erga civitatem ex publico positas, uti
etiam virtutis monimenta, arcusque
triumphales in triumphorum & pom-
parum illarum memoriam constructos:
quibus prælia ipsa, mancipia, spolia,
& mœniorum expugnationes insculpta
sunt. Sacrificiorum præterea, victima-
rum, altarium & donariorum sculptu-
ras. Ad hæc tam navales quam pede-
stres & equestres pugnas, & ut ita di-
cam, quodcumque tandem pugnæ in-
strumentorum armorumque genus: item
subactos principes, Medos forte vel
Persas, vel Iberos, aut Gallos, Assy-
riosve suo quemque habitu: gentes-
D que subactas, & triumphantes de iis-
dem imperatores. item currus & qua-
drigas cum aurigis, tum stipatores ac
subsequentes satellites, nec non ante-
cedentia spolia omnia tamquam viva in
effigiebus videre, & quid unumquod-
que fuerit ex adjunctis litteris digno-
scere licet. ut manifeste queat perspici
quibus armis, quoque habitu olim u-
terentur, quibus magistratuum insi-
gnibus, quibus acierum instructioni-
bus & pugnis, queisque urbes obsiden-
di & castra metandi modis: quibus de-
nique ornamentis & quo amictu mili-
tiæ vel domi, in comitiis, vel in sena-
tu, vel etiam in foro: in terra, in ma-
ri, iter facientes, vel navigantes, sive
E operi faciundo, sive corpori exercan-
do intenti, sive ludos spectantes, sive
in concionibus, sive in officinis, idque
secundum diversos nationum ritus. quos
dum Herodotus aliique nonnulli hi-
storici explicant, magnum operæ pre-
tium fecisse videntur. Sed in hisce o- pag. 111.
mnia ut iis temporibus sese habebant,
quæque apud diversos populos fiebant,
videre licet: ita ut accurata quædam hi-
storia sit: vel potius non tam historia,

quam ocularis, ut ita dicam, inspectio & præsens cognitio rerum omnium quæ tunc temporis contigerunt: & sane imitationis artificium cum ipsa rerum natura certat & condit, ita ut videaris integrum hominem, urbem, equum, aut exercitum videre, vel loricam aut gladium, vel armaturam integram: vel etiam captos, fugientes, ridentes, flentes, commotos, vel iratos. tum præter hæc omnia uncialibus litteris adscriptum: Senatus Populusque Romanus, Julio Cæsari forte vel Tito, aut Vespasiano, ob rem bene & fortiter gestam: victis hisce vel illis populis, vel ob patriam servatam, vel ob barbaros profligatos, aut aliud hujusmodi præclarum facinus. Sed quid priscos illos Meleagros, Amphionas & Tripeolemos, aut si velis Pelopes & Amphiaraos, & Tantalos dicam, & quicquid hujus generis fabulosa & vetusta Græcorum historia commemorat? hisce viæ omnes plenæ sunt, plena antiquitatum monimenta & sepulchra, pleni ædium parietes. omnia præstantissimi & absolutissimi artificii, Phidiæ cujusdam aut Lysippi, vel Praxitelis, similiumve opera. adeo ut per urbem incedendo nunc huc nunc illuc oculo traharis: quod amore captis & vivam pulchritudinem cum admiratione curiose contemplantibus contingit. accedit mœnium ambitus, & totius orbis situs, tum etiam amnis fluentum, & agrorum atque suburbiorum quondam & villarum in iisdem amœnitas. Sed nec portuum navaliumque expers hæc urbs fuit: quorum alia intra mœnia erant, alia in ipsis fluvii ostiis, alia proxime sub urbis mœnibus: quarum adhuc reliquiæ visuntur: quarum demolitionem quoque omnibus nostri sæculi principibus difficilem futuram existimo, si difficile vocandum sit ubi quis rem factu impossibilem dicit. quin etiam voluptatis & oblectamenti gratia, tum ob civium quoque exercitium naumachiis intra mœnia in ipsa civitate utebatur, non dicam in flumine, sed in mari aut lacu quodam intra civitatem ad hoc præparato. atque ut certaminum, & gladiatorum, pugnarumque cum feris & curulium ludorum gymnasia & theatra erant, ita etiam ubi triremes confligerent. Ita ut vere affirmare liceat quod alius quidam veterum nostrorumque de ea dixit: nihil tum temporis fuisse præter Romam. & antiqua quidem hujusmodi fuere. recentiora autem & quæ ad nostram veramque religionem spectant quis dicere poterit? vel quæcumque ex tanta lapidum hujusmodi & materiarum copia, & florente tum temporis præstantia artis, tum ex tanta pietate & devotione facta fuere? cum alia quidem antiquitatis monimenta ad novas structuras transferrentur: alia autem ex prophanis & immundis Sanctorum ædes; & ex fanis idolorum veri numinis templa fierent. quot enim Apostolorum templa sunt? quot Martyrum? quot Sanctorum & beatorum? quot divarum mulierum & virginum? tum vero corpora eorumdem & reliquias, sive integras, sive particulis divisas, & quicquid ad ipsorum memoriam, & communis humani generis gloriam commemoratur, quis enumerare poterit? Sane reliquiarum sanctarum conditorium, & rerum sacrarum thesaurum hanc urbem paucis verbis quis appellaret. ut quod ille, cujus initio memini,

Edit. Paris. pag. 112.

A λον δὲ τῆς ἱστορίας, ἀλλ' ἔτι ὥσπερ ὄψιν, αὐτοψίαν τῶν τότε ἁπλῶς ἁπανταχοῦ γενομένων πάντων, καὶ παρουσίαν. ἥγε μὴν τέχνη τῶν μιμημάτων ἀληθῶς ἐρίζει καὶ ἁμιλλᾶται πρὸς τὴν τῶν πραγμάτων φύσιν, ὥστε δοκεῖν ἄνθρωπον, ἢ ἵππον, ἢ πόλιν, ἢ στρατὸν ὅλον ὁρᾷν, ἢ θώρακα, ἢ ξίφος, ἢ πανοπλίαν, καὶ ἢ ἁλισκομένους, ἢ φεύγοντας, ἢ γελῶντας, ἢ κλαίοντας, ἢ κινουμένους, ἢ ὀργιζομένους. Ἐπὶ πᾶσι δὲ τούτοις γράμματα μεγάλα λέγοντα· Ἡ Βουλὴ τῶν Ῥωμαίων καὶ ὁ Δῆμος, Ἰουλίῳ εἰ τύχοι Καίσαρι, ἢ Τίτῳ, ἢ Οὐεσπασιανῷ ἀρετῆς καὶ ἀνδραγαθίας ἕνεκεν, νικήσαντι ἔθνη τῶν δεινῶν, ἢ φυλάξαντι τὴν πατρίδα, ἢ ἐλάσαντι τοὺς βαρβάρους, ἄττε τοιοῦτον ἕτερον τῶν ἐπαινουμένων. Τί δὲ τοὺς παλαιοὺς ἐκείνους,

B Μελεάγρους, καὶ Ἀμφίονας, καὶ Τριπτολέμους, εἰ δὲ βούλει Πέλοπας, καὶ Ἀμφιαράους, καὶ Ταντάλους, καὶ εἴτι τοιοῦτον ἕτερον ἐπὶ τῆς μυθικῆς καὶ ἀρχαίας ἐκείνης τῆς Ἑλληνικῆς ἱστορίας λέγεται; μεσταὶ μὲν τούτων ὁδοί, μεστὰ δὲ μνήματα καὶ τάφοι παλαιῶν, μεστοὶ δὲ οἰκιῶν τοῖχοι· πάντα τῆς ἀρίστης καὶ τελεωτάτης τέχνης, Φειδίου τινός, ἢ Λυσίππου, ἢ Πραξιτέλους, ἢ τῶν ὁμοίων ἔργα. ὥστε ἀνάγκη διὰ τῆς πόλεως ἰόντι, ποτὲ μὲν πρὸς τοῦτο, ποτὲ δὲ πρὸς ἐκεῖνο ἕλκεσθαι τῷ ὀφθαλμῷ. ὅπερ συμβαίνει τοῖς ἐρωτικοῖς τούτοις, καὶ τὰ ζῶντα κάλλη θαυμάζουσι, καὶ περιέργως θεωμένοις. ὅγε μὴν τῶν τειχῶν κύκλος, ὅγε μὴν τῆς ὅλης πόλεως θέσις, τὸ δὲ τοῦ ποταμοῦ ῥεῦμα, ἡ δὲ τῶν ἀγρῶν, καὶ τῶν πρὶν προαστεί-

C ων, καὶ τῶν ἐπαύλεων τῶν ἐν αὐτοῖς χάρις. ἦν δὲ οὐδὲ λιμένων ἄμοιρος ἡ πόλις, οὐδὲ νεωρίων ἢ ναυστάθμων, τῶν μὲν εἴσω τειχῶν, τῶν δὲ ἐπὶ ταῖς ἐκβολαῖς αὐταῖς τοῦ ποταμοῦ, τῶν δὲ ἐγγὺς πρὸ τῶν τειχῶν, ὧν ἔτι καὶ νῦν λείψανα ὁρᾶται. ἃ καὶ τὸ καθελεῖν οἶμαι ἔργον ἂν ἦν. ἅμα πᾶσι τοῖς νῦν λεγομένοις δυνατοῖς, εἰ χρὴ δυσχερὲς λέγειν, ὃ τις ἂν εἴποι ἀδύνατον. ἔγε καὶ θυμηδίας καὶ ψυχαγωγίας, ἔτι δὲ γυμνασίας τῶν πολιτῶν ἕνεκα καὶ ναυμαχίας εἴσω τειχῶν ἐπ' αὐτῆς τῆς πόλεως ἐχρῆτο, οὐ λέγω ἐπὶ τοῦ ποταμοῦ, ἀλλ' ἐπὶ πελάγους τινὸς ἢ λίμνης, ἔνδον τῆς πόλεως ἐπ' αὐτὸ τοῦτο πεποιημένης. καὶ ἦν, ὥσπερ γυμνάσια, καὶ θέατρα ἀγώνων, καὶ μονομαχιῶν, ἔτι δὲ θηριομαχιῶν, καὶ ἱπποδρομιῶν, οὕ-

D τω καὶ τριηρομαχιῶν. ὥστε ἀληθῶς ἐξεῖναι λέγειν, ὃ οὐδὲν ἄλλο ἢ Ῥώμη τὰ τότε, ὅπερ ἕτερος τῶν ἡμετέρων καὶ παλαιῶν εἶπε περὶ αὐτῆς. Τὰ μὲν οὖν ἀρχαῖα τοιαῦτα ἦν. τὰ δὲ νεώτερα, καὶ τὰ ἐπὶ τῆς ἡμετέρας καὶ ἀληθοῦς θρησκείας τί ἂν λέγοι τίς; ἢ οἷα εἰκὸς τὰ ἐκ τοσαύτης μὲν ἀφθονίας λίθων τοιούτων καὶ ὑλῶν, τοιαύτης δὲ τέχνης τότε ἀνθούσης, τοσαύτης δὲ φιλοθεΐας καὶ εὐσεβείας πεποιημένα; νῦν μὲν τῶν ἀρχαίων μετασκευασθέντων, τῶν δὲ ἐξ ἀνιέρων καὶ βεβήλων, ἱερῶν ἁγίων γενομένων, καὶ ναῶν θείων ἐξ εἰδωλείων. Πόσοι μὲν Ἀποστόλων ναοί; πόσοι δὲ μαρτύρων; πόσοι δὲ ὁσίων καὶ ἁγίων; πόσοι δὲ γυναικῶν θείων καὶ παρθένων; τά γε μὴν σώματα τούτων, καὶ τὰ λείψανα, εἴτε καθόλου,

E εἴτε κατὰ μέρη, καὶ εἴτι πρὸς ὑπόμνησιν αὐτῶν λέγεται, καὶ τὰ πρὸς ἔνδειξιν τοῦ ἀνθρωπίνου τοῦ κοινοῦ Δεσπότου, τίς ἂν δύναιτο καταλέγειν; φαίη τις ἂν σορὸν ἁγίων λειψάνων, ἢ ἁγιασμάτων θησαυρὸν ἁπλῶς εἶναι τὴν πόλιν. οὐδ' ὅπερ ἐκεῖνος, οὗ κατ' ἀρχὰς ἐμνημόνευσα, εἶπε τότε, δικαιότερον ἐπὶ τῶν καιρῶν τούτων, οὐρανοῦ μέρος ῥηθῆναι δύνασθαι, διὰ τούτους τοὺς ἐνοικοῦντας. ἀλλὰ ταῦτα μὲν οὖν. τοὺς δὲ δύο φω-

A σῆρας, ἢ ἡλίους, ἢ οὐρανοὺς ὅλους, τὴν τοῦ Θεοῦ δόξαν διηγουμένους, Πέτρον φημὶ καὶ Παῦλον, ὧν τὰ λείψανα ἐνταῦθα κεῖται, καὶ ὧν ἐπὶ τῆς μνήμης ταῦτα γράφω, τίς ἂν ἀξίως ἀγασθείη; τί δὲ τὴν εἰς τούτους ὥσπερ εἰς κοινούς τινας σατράπας καὶ ἡγεμόνας, ἢ ὑπάτους, συνδρομὴν πάσης τῆς Οἰκουμένης; θαῦμα ὄντως ἐστὶν ἰδεῖν ἀπὸ Ισπανίας καὶ Ιβηρίας, καὶ Γαλατίας, καὶ τῶν Βρεταννικῶν νήσων, καὶ τῶν ἔτι δυτικωτέρων εἴ τινες εἶεν ἢ ἀρκτικωτέρων· ἔτι δὲ ἀπὸ Γερμανίας καὶ Σαρματίας, καὶ Παννονίας, τινὰς δὲ καὶ τῶν ἀπὸ τῆς Ελλάδος καὶ Ασίας, καὶ τῶν ὁθενοῦν ἄλλοθεν, (τίς γὰρ ἂν οἷός τ' εἴη πάντας καταλέγειν;) οὐκ ἄνδρας μόνον πάσης ἡλικίας τε, καὶ τύχης, ἀλλὰ καὶ γυναῖκας ἤδη διὰ τοσούτων μὲν ὁδῶν, τοσούτων δὲ κινδύνων, καὶ B τοσούτων δὲ πόνων, καὶ ψύχους, καὶ πηλοῦ, καὶ κόνεως, καὶ πνίγους, καὶ ταλαιπωριῶν, δεῦρο ἀφικνουμένας, ἵνα τὴν λάρνακα, καὶ τὴν θήκην, καὶ τὴν σορὸν, καὶ ταῦτα πόρρωθεν καὶ διὰ καταπετασμάτων, καὶ κιγκλίδων τῶν Αποστόλων προσκυνήσωσιν. ἵνα θέντες ἐπὶ τῆς κόνεως, καὶ τοῦ ἐδάφους, καὶ τῶν περιφραττόντων λίθων, καὶ σιδήρων τὰ μέτωπα, καὶ τὰς κεφαλὰς, σωτῆρας αὐτοὺς, καὶ δεσπότας, καὶ ἡλίους, ὥσπερ εἶπον, τῆς Οἰκουμένης ἀναφθέγξωνται. ἵνα μετὰ τοσαῦτα ἔτη τοῦ κηρύγματος, χάριν αὐτοῖς τῆς ἀληθείας, καὶ τῆς ἀπὸ τῆς πλάνης, καὶ τοῦ σκότους ἀπαλλαγῆς ὁμολογήσωσι. καὶ ταῦτα ἐπὶ τῆς πόλεως ἐκείνης, καὶ τῆς ἀρχῆς ἐκείνης, ἐν ᾗ ταῦτα ἐκεῖνοι λέγοντες ἀπέθανον. ἔνθα τοσαύτη γέγονεν ἡ παρὰ τῶν C ἀντίων τῶν ἀληθῶν δεισιδαιμονία τε, καὶ πλάνη, ὅση παρὰ τῶν ἐπὶ τούτοις εἰδώλων, καὶ ξοάνων, καὶ ναῶν δύναται δείκνυσθαι. ὅθεν τὰ κατὰ τῶν Χριστιανῶν ἁπανταχοῦ τῆς Οἰκουμένης δόγματα ἐφέροντο, καὶ οἱ κατὰ τούτων δήμιοι ἐπέμποντο. ὅπου ὧδε μὲν Νέρωνος τοῦ σφαγέως ἐκείνου καὶ ἀνοσίου, ἐνταῦθα δὲ Διοκλητιανοῦ, ἐκεῖσε δὲ Μαξιμιανοῦ τῶν διωκτῶν καταπεπτωκότες ἤδη καὶ κατεσκαφέντες θάλαμοι, καὶ λελωβημέναι, καὶ ἡμιρραγεῖς στῆλαι ὁρῶνται. ἀλλὰ τούτους μὲν, καὶ ταῦτα βασιλέων γενομένας, καὶ αὐτοὺς ποτὲ παραστησαμένων, καὶ δουλωσαμένων, παρατρέχουσι· καὶ τί λέγω παρατρέχουσι; μᾶλλον μὲν D δεινῶς λὰξ ἐνάλλονται, καὶ πὺξ παίουσι, καὶ περιρρηγνῦσιν, ὥσπερ εἶπον, καὶ καταπτύουσι, καὶ ἀνατρέπουσι· τούτοις δὲ πένησι, καὶ ἀλλοδαποῖς, μᾶλλον δὲ δούλοις, καὶ ὑπηκόοις ἐκείνων, τὴν πολιτείαν καὶ τὸ ἦθος γενομένοις, σκηνοποιοῖς καὶ ἁλιεῦσι, μεθ' ὅσης ἂν εἴποι τις τέρψεως καὶ ἡδονῆς, εἰ δὲ βούλει στερνοτυπίας, καὶ εὐλαβείας, καὶ δακρύων κλίνουσι τὰς κεφαλὰς, σωτῆρας, ὅπερ εἶπον, καὶ προστάτας, καὶ οὐ τῶν παρόντων, καὶ γηΐνων κυρίους μόνον, ἀλλὰ καὶ τῶν οὐρανῶν πυλωροὺς ἀνακαλούμενοι, αὐτοῖς τε, καὶ φίλοις, καὶ οἰκείοις, καὶ τῇ οἰκουμένῃ πάσῃ παρ' αὐτῶν αἰτούμενοι σωτηρίαν. Οἱ δὲ κάθηνται ἐν περιωπῆς ἄνωθεν μεγάλοι μεγαλωστὶ ψηφῖσιν ἢ λίθοις ἢ E χρώμασιν, ἔτι δὲ ἀργύρῳ μόνῳ καὶ χρυσῷ εἰς τὸ ἀρχαῖον εἶδος τετυπωμένοι, ὥσπερ βασιλεῖς τινὲς, ἢ ἡγεμόνες, ἢ κοινοὶ πάντων δεσπόται κλεῖς ἔχοντες, σύμβολον τῆς δυνάμεως τοῦ δεσμεῖν, καὶ λύειν, καὶ σύμβολον τῆς ἰσχύος, καὶ ἀξίας τοῦ δεδωκότος. καὶ τὰ μὲν τοῦ δήμου τῶν Ρωμαίων, ἢ τὰ Ιουλίου Καίσαρος, ἢ Αὐγούστου, ἢ ὁτινοσοῦν ἄλλου, κἀνταῦθα ἐπὶ τῆς αὐτῶν πατρίδος ὑπὸ τῶν πλείστων ἀγνοούμενα ἀπίν-

A tum dixit, id meliori jure hisce temporibus dici queat, eam cæli partem esse, ob hujusmodi incolas. Sed ista quidem prætermitto. Duo autem luminaria, vel soles, aut cælos integros Dei gloriam enarrantes, Petrum, inquam, & Paulum, quorum reliquiæ hic sitæ sunt; & ad quorum monimenta hæc scribo, quis digne admirabitur? quid de totius orbis ad eosdem, veluti communes quosdam præfectos, ducesque, aut præsides concursu dicam? miraculum profecto est videre ab Hispania, sive Iberia & Gallia, Insulisque Britannicis, & si quæ ulterius versus occidentem, vel aquilonem distent: tum etiam ex Germania, Sarmatia, & Pannonia, nonnullos vero etiam ex Græcia & Asia, & quibuscumque B alius ex locis, (quis enim omnes enumerare possit?) non viros solum cujusvis ætatis & professionis, sed & fœminas per tam longinqua itinera, per tot pericula & labores; per frigus, lutum, pulverem, æstum & molestias huc venientes, ut arcam & loculum, & conditorium Apostolorum, idque eminus & per cortinas ac cancellos adorent, ut pulveri, ac solo, & circumambientibus lapideis ferreisque claustris faciem & capita apponentes, servatores dominosque, &, ut dixi, soles orbis terrarum eos prædicent, ut post tot annos ob prædicationem veritatis, & ab errore ac tenebris conversionem gratias agant, idque in ea urbe, & in illo imperio, ubi ipsi hæc prædican-C tes mortem oppetiere, ubi a veritatis adversariis tanta superstitio, tantusque error introductus fuit; quantus ex idolis, statuis, templisque ipsorum demonstrari potest. Unde edicta contra Christianos per totum orbem ferebantur. & carnifices in eosdem immittebantur. Ubi alio quidem in loco Neronis impii illius homicidæ, alibi vero Diocletiani, alibi Maximiani persecutorum collapsæ jam dejectæque ædes, & mutilæ, ac semifractæ statuæ visuntur. Sed hæc quidem monumenta, licet Imperatorum, & qui istos aliquando sistebant judicio, & ut mancipia tractabant, cursim prætereunt: & quid dico præterire? quin potius infestis calcibus proterunt, & pu-D gnis feriunt, atque, ut dixi, mutilant, conspuunt & subvertunt: hisce autem pauperculis & peregrinis, vel potius servis ac subditis illorum, professione, vitæque instituto, aulæorum textoribus & piscatoribus quam maximo gaudio & voluptate, aut si malis, cum percussione pectoris, & devotione, lachrymisque capita inclinant servatores, ut dixi, & præsides, nec præsentium tantum atque terrenorum dominos, sed & cælorum janitores eos vocantes, & sibi, amicis, & familiaribus, atque orbi universo salutem exposcentes. Illi autem edito & conspicuo in loco lapillis tessellatis, vel marmoribus coloribusve, quinetiam argento mero atque auro ad antiquam speciem ma-E jori forma magnifice efformati sedent, tamquam reges vel principes, aut communes omnium domini, claves ligandi solvendique potestatis symbolum gerentes, signumque virtutis & auctoritatis ejus qui potestatem illam dedit. Et populi quidem Romani, aut Julii Cæsaris, vel Augusti, vel cujuscumque alterius monumenta etiam hic in patria ipsorum plurimis incognita, pri-

Edit. Paris. pag 113.

stini decoris flore amisso, passim collapsa jacent. horum autem florent vigentque per orbem universum. Et memoria hic repeto pompam & solemne festum, quod Londini in Britannia, ipsius externi maris, oceanique insula, ante biennium, me ac comitatu meo præsente & spectante, ab ejus loci incolis hisce Apostolis celebrabatur. Cæsarem vero qui primus eos subegit, & cujus castella adhuc ibidem extant, alterum quidem ad trajectum; alterum vero dicto in loco ignorant. atque ego quidem existimo & ista omnia, & Romanum imperium, & Imperatorum monarchiam ac principatum, gentiumque subjectionem propterea extitisse, ut hæc deinde sequerentur. Quid vero Apostolorum gloriam & venerationem atque honorem in ipsis corporibus, eorumque sepulchris eis cahibitum admirari & contemplari attinet? id enim ea imperio & principatu Ecclesiæ, & propter principes hosce in longa successorum serie videre & admirari licet. nequaquam enim sub imperio veteris illius Romæ tot Imperatorum edicta, tot plebiscita, & Senatusconsulta per tantam orbis terrarum partem prodiisse existimo, quot nunc longe lateque ab Ecclesia prodeunt. ea autem semper obsignant & confirmant sigillorum loco effigies & capita Petri & Pauli; qui dicere jam amplius nequeunt: argentum & aurum non est mihi. Quis vero opes ab ipsis collatas enumerare poterit? videbor forte nonnullis rem nimium verbis extollere: puto tamen omnes orbis principes quotquot ad nostram notitiam pervenere, simul junctos ex consuetis suis reditibus, bonisque, quorum distribuendorum potestas jure ad ipsos spectat, oon posse tantum conferre. conferunt autem hæc Petrus & Paulus: & conferre necessum est: nec servare sibi vellent qui ea conferunt. necessum autem est Petri & Pauli successores, eorumque familiam hæc distribuere. & qui ea accipiunt, tamquam a dominis accipere videntur: conferentes autem tamquam domini conferunt. nec quisquam contradicit: nisi quod nonnulli de rata aut irrita collatione invicem litigent. & hoc ipsum rursus illos djiudicare, & eorum quæ ipsi fecere, judices ac definitores esse oportet: sæpius autem & ab iis quæ alii constituere, provocationem ad eos fieri. Quid autem spirituales largitiones, quid nationum judices commemorem? nam in templo SS. Apostolorum pro linguarum diversitate cernere licet. hic quidem sedentem in throno, & auscultantem confessiones eorum, qui ea Britannicis insulis hanc ipsam ob causam accesserunt: isthic eorum qui ex Hispania vel Gallia: alibi vero qui ex Dalmatia vel Dacia advenere. hos autem in plateis, vel per urbem, vel in Ecclesia promiscue alios aliam vocem proferentes audias. Quocirca non tunc solum Apostoli super duodecim thronos sedebunt, juxta Christi promissionem, judicantes duodecim tribus Israel: sed & hoc tempore illi in multis thronis judicum instar sedent, judicantes orbem terrarum: nec solum in primitiva Ecclesia, sed nunc quoque sua cuique lingua loquuntur, ita ut intelligi queant. Quinetiam decreta & constitutiones SS.| Apostolorum quaqua-

Edit. Paris. pag. 124.

A θηκε πανταχοῦ, καὶ ἀπερρύη· τὰ δὲ τούτων διὰ πάσης τῆς οἰκουμένης ἀνθεῖ καὶ θάλλει. Μέμνημαι δὲ τῆς ἐν Λονδινίῳ τῆς Βρεταννίας ἐπ' αὐτῆς τῆς ἔξω θαλάττης, καὶ ὠκεανοῦ, δεύτερον ἔτος τουτὶ ἐμοῦ, καὶ τῶν σὺν ἐμοὶ παρόντων, καὶ θεωμένων γενομένης αὐτοῖς πομπῆς καὶ πανηγύρεως παρὰ τῶν ἐκεῖ. Καίσαρα δὲ τὸν πρῶτον ὑπαγαγόμενον αὐτούς, καὶ οὗ φρούρια ἔτι καὶ νῦν ἐστιν ἐκεῖ, τὸ μὲν ἐπὶ τῆς διαβάσεως, τὸ δὲ ἐπ' αὐτοῦ τοῦ τόπου, ἀγνοοῦσι. καὶ ἔγωγε οἶμαι, καὶ ἐκεῖνα πάντα, καὶ τὴν τῆς Ῥώμης ἀρχὴν, καὶ τὴν τῶν Αὐτοκρατόρων μοναρχίαν καὶ ἡγεμονίαν, καὶ τὴν τῶν ἐθνῶν ὑπακοὴν διὰ ταῦτα γεγονέναι, ἵνα ταῦτα ἀκολουθήσῃ. Τί δὲ χρὴ τὴν ἀξίαν τῶν Ἀποστό-
B λων καὶ τὴν ἀπονεμομένην αὐτοῖς εὐλάβειαν, καὶ τιμὴν ἐν αὐτοῖς ἐκείνοις, καὶ τοῖς σώμασι, καὶ τοῖς τάφοις αὐτῶν θαυμάζειν, καὶ ὁρᾶν; ἔξεστι γὰρ τοῦτο ὁρᾶν τε, καὶ θαυμάζειν, καὶ ἐπὶ τῆς ἀρχῆς τῆς Ἐκκλησίας, καὶ ἐπὶ τοῖς πολλοστοῖς μετ' ἐκείνους δι' αὐτούς· οἶμαι γὰρ μηδέποτε ἐπὶ τῆς ἀρχῆς τῆς Ῥώμης ἐκείνης, λέγω τῆς παλαιᾶς, τοσαῦτα θεσπίσματα τῶν Αὐτοκρατόρων ἐκείνων, καὶ τοῦ δήμου, καὶ τῆς βουλῆς, καὶ διὰ τοσούτου μέρους τῆς Οἰκουμένης φοιτᾶν, ὅσα καὶ ὁσαχοῦ νῦν παρὰ τῆς Ἐκκλησίας, εἰσὶ δὲ οἱ θεσπίζοντες ἀεὶ καὶ οἱ κύρια ποιοῦντες διὰ τῶν σφραγίδων αὐτὰ, αἱ εἰκόνες, καὶ αἱ κεφαλαὶ Πέτρου καὶ Παύλου, οὐκέτι δυναμένων
C λέγειν· ἀργύριον ἢ χρυσίον οὐκ ἔστι μοι· τίς δ' ἂν ἀριθμήσειε, τὰ παρ' αὐτῶν διδόμενα; δόξω μὲν ἴσως τισὶ λέγειν ὑπερβολὰς, οἶμαι δὲ συνελθούσας ὁμοῦ πάσας τὰς γνωσμένας ἡμῖν ἀρχὰς ἐκ τῶν ἀπονενεμημένων αὐταῖς ἐξ ἔθους, καὶ ὧν κύριοι κατὰ νόμον διανέμειν, μὴ τοσαῦτα δοῦναι δύνασθαι. δεδώκασι δὲ ταῦτα ὁ Πέτρος καὶ ὁ Παῦλος. καὶ ἀνάγκη δὲ ταῦτα διδόναι, οὐδ' ἂν ἐκεῖνα κατέχοιεν ἑαυτοῖς, οἱ ταῦτα διαδιδόντες. ἀνάγκη δὲ καὶ τοῖς ἀπὸ Πέτρου καὶ Παύλου, καὶ τοῦ κλήρου τούτων διανέμειν. καὶ οἵ τε λαμβάνοντες δοκοῦσι παρὰ δεσποτῶν λαμβάνειν· οἵ τε διδόντες ὡς ἂν κύριοι διδόασιν. ἔστι δὲ οὐδεὶς ὁ ἀντιλέγων, πλὴν εἰ τινὲς κατὰ τὸ δεδόσθαι, ἢ
D μὴ δεδόσθαι, καὶ νῦν δεδόσθαι ἀλλήλοις ἀμφισβητοῖεν. καὶ τοῦτο δὲ αὐτὸ δι' ἐκείνους αὖθις ἐπικρίνειν, καὶ τῶν γενομένων παρ' αὐτῶν αὐτοὺς εἶναι κριτὰς καὶ ὁριστάς. πολλάκις δὲ καὶ τῶν παρ' ἄλλων γενομένων εἰς αὐτοὺς τὴν ἔφεσιν διαβαίνειν. Τί δὲ τὰς πνευματικὰς δόσεις, τί δὲ τοὺς τῶν Φυλῶν κριτάς; ἔστι γὰρ ὁρᾶν κατὰ γλώσσας ἐπὶ τοῦ ναοῦ τῶν Ἀποστόλων, ἐνταῦθα μὲν καθήμενον ἐπὶ θρόνου τὸν ἀκούοντα τοὺς ἀπὸ τῶν Βρετανικῶν νήσων ἐπ' αὐτῷ τούτῳ ἥκοντας ἐξομολογουμένους· ἐνταῦθα δὲ τὸν τοὺς ἀπὸ Ἰβηρίας, ἢ Γαλατίας. ἐκεῖ δὲ τὸν τοὺς ἀπὸ Δαλματίας, ἢ Δακίας. αὐτοὺς δὲ ἐπὶ τῶν ὁδῶν, ἢ ἐπὶ τῆς πόλεως, ἢ ἐπὶ τῆς ἐκκλησίας συμμιγεῖς, ἄλλους ἄλλην φωνὴν προϊεμένους. καὶ οὐκ
E ἄρα ἐπὶ δώδεκα μόνον θρόνων τότε οἱ Ἀπόστολοι καθήσονται, κατὰ τὴν ἐπαγγελίαν, κρίνοντες τὰς δώδεκα Φυλὰς τοῦ Ἰσραήλ· ἀλλὰ καὶ νῦν οὗτοι κάθηνται ἐπὶ πολλῶν θρόνων, ὥσπερ τινὲς δικασταὶ, κρίνοντες τὴν Οἰκουμένην. καὶ οὐκ ἐπὶ τῆς ἀρχαίας ἐκκλησίας μόνον, ἀλλὰ καὶ νῦν κατὰ τὴν αὐτῶν φωνὴν πᾶσι συνετὰ φθέγγονται. καὶ ἔξω τε, ὡς εἶπον, πανταχόσε τὰ τῶν Ἀποστόλων ψηφίσματα,

ἐκ [illegible] · καὶ δεῦρο πανταχόθεν ἔρχονται πολλῶν ἡμερῶν, ἤδη δὲ καὶ μηνῶν ὁδὸν μηδενὸς διώκοντος αὐτοὺς, κατηγοροῦντες μὲν ἑαυτῶν, ἃ Πλάτων ἐν Γοργίᾳ τοῖς βουλομένοις, καὶ μέλλουσι δικαίοις εἶναι παραινεῖ, δεξάμενοι τὰς ἐκείνων ἀποφάσεις, καὶ πληρώσαντες τὰς ἐπιτιμίας. ἐῶ γὰρ τοὺς ἐκ προσταγῆς πόρρωθεν ἀπὸ τῶν ἐσχατιῶν τῆς Οἰκουμένης τρέχοντας, ἢ ἀγομένους. Τίς δ' οὐκ ἂν ἐκπλαγείη τοῦ Πάπα ἀκούων ἐν κοινῷ συνεδρίῳ χρηματίζοντος καὶ χρησμῳδοῦντος; τίς οὐκ ἂν θαυμάσειε ταῦτα ὁρῶν; ἀλλὰ περὶ τούτων, τί χρὴ πλείω λέγειν; ὃ δὲ ἔλεγον, ὅσον ἐστὶ τὰ τῶν Ἀποστόλων λείψανα τῇ πόλει ταύτῃ, πάρεστιν ἀπὸ τῆς ἐξηγήσεως τοῦ Χρυσοστόμου ἐν τῷ τέλει τῆς πρὸς αὐτοὺς τούτους τοὺς Ῥωμαίους, εἰ καλῶς μέμνημαι, Παύλου ἐπιστολῆς ἰδεῖν, ἐν ᾧ τὸν ὅλον λόγον, καὶ τὸ χρυσοῦν σύγγραμμα ἐκεῖνο ὁ χρυσοῦς ὄντως οὐ τὸ στόμα μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν ἀνὴρ ἐκεῖνος καταπαύει, ἐν οἷς ὥσπερ ἐνθουσιῶν δὶς καὶ τρὶς καὶ πολλάκις λέγει. Ἐβουλόμην τὴν πόλιν ἐκείνην ἰδεῖν, τὴν Ῥώμην λέγων, ἐν ᾗ τὰ καὶ τὰ, περὶ τῶν Ἀποστόλων καὶ τῆς τῶν σωμάτων αὐτῶν ἐν αὐτῇ ταφῆς καὶ παρουσίας φάσκων. Ἐβουλόμην τοὺς πόδας ἐκείνους, ἐβουλόμην τὰς χεῖρας, ἐβουλόμην ἐκείνας τὰς κεφαλὰς ἰδεῖν. καὶ οὐ παύεται, ὥσπερ οἱ δυσέρωτες, κατὰ μέλη διεξιὼν, καὶ μυριάκις ταυτὰ λέγων. Ἀλλὰ ταῦτα μὲν ἐῶμεν ἤδη. οὔτε γὰρ κατ' ἐπιστολὴν τοσαῦτα λέγειν, καὶ ὅσα ἂν εἴποιμεν, οὐδὲν ἂν περὶ τούτων εἴπομεν πρὸς ἀξίαν εἰρηκότες ἄλλως τε ἀρξάμενος μὲν ὡς ὀλίγα ἐρῶν, ἔλαθον δὲ ἐμαυτὸν σφόδρα ἐκβὰς τοῦ μέτρου. οἷα δὲ ἐπιθήκην τῶν ἐμῶν γραμμάτων, τοῦτο ποιούμενος, θυμηδίας τινὸς χάριν, ταῦτα ἐβουλήθην γράψαι. μάλισθ' ὅτι ἐν τοῖς σοῖς πρὸς ἐμὲ γράμμασι, πρὸς τοῖς ἄλλοις καὶ τοῦτο εὗρον ἐγκείμενον, ὡς ὀλίγα ἐπιστέλλω. σπεύδω δὲ ταῦτα δοῦναι, μὴ πρὸ τῆς εἰς Βενετίαν αὐτῶν ἀφίξεως, αἱ τριήρεις τῆς πόλεως ἐκείνης φθάσωσιν ἀναχθεῖσαι. ἀλλ' ὄντως ἐν παντὶ πράγματι ἐκεῖνο ἐστὶ μᾶλλον δύσκολον, εἰκότως τὸ ἄρξασθαι, καὶ δεόντως τελευτῆσαι. καὶ τὸ ὅλον δὲ ἁπλῶς τοῖς ἄκροις ὁρίζεται καὶ μορφὴν λαμβάνει. καὶ πολλοὶ ὥσπερ ὅθεν δεῖ ἄρξασθαι οὐκ ἴσασιν, οὕτως οὐδ' ὅπου δεῖ τέλος ἐπιθεῖναι. ἀνάγκη δὲ τούτους ἀρξαμένους ἀεὶ λαλεῖν. Ἐγὼ δὲ καὶ τοσοῦτον χρόνον τὸν τρόπον τοῦτον πρὸς τὸ σὸν ὕψος ἐσιώπησα, ὥστε μόλις ποτὲ αὖθις ἀρξάμενος οὐ δύναμαι ταχέως λῆξαι. Συγγνώσῃ δέ μοι ὥσπερ ἐν τοῖς φθάσασι τῇ κατὰ τὸν τρόπον τοῦτον μέχρι τινὸς τοῦ λέγειν σιωπῇ, οὕτω νῦν τῇ πολυλογίᾳ, ἄλλως τε, καὶ περὶ τοιούτων πρὸς σὲ λέγοντος ἀνάγκη γε μὴν τέλος ἐπιθεῖναι. Οὐ βούλομαι δὲ ὅμως διὰ τοῦτο τὴν ἡμετέραν Πόλιν ἀδικῆσαι. ἀδικοίην δ' ἂν αὐτὴν ἐν τούτοις λήξας. Ἐγὼ γὰρ ταῦτα ὁρῶν, ὅσα ἐν οἰκοδομίαις καὶ αὐτοφυέσι κάλλεσι καὶ χειροποιήτοις εἶπον, ἄγαμαι μὲν τῆς ποτὲ μεγαλοπρεπείας καὶ δυνάμεως τὴν πόλιν, καὶ χαίρω ἐπὶ τούτοις μάλιστα ὅτι σφόδρα ὅμοια τοῖς παρ' ἡμῖν ὁρῶ. καὶ αὐτὴ δὲ, ὡς οἶσθα, ἡ τινῶν ὁμοιότης μόνη τέρπειν πέφυκεν, ὅταν τινὰ σφόδρα ὅμοια ὁρῶμεν. μάλιστα ὅταν υἱὸν πατρὶ, ἢ θυγατέρα μητρὶ, ἢ ἀδελφοὺς ἀλλήλοις βλέπωμεν ἐμφερεῖς εἶναι. καὶ τούτους μᾶλλον εἰ τύχοιεν ἡμῖν ὁπωσοῦν προσήκοντες.

A versum, ut dixi, foras prodeunt: & huc undiquaque non solum multorum dierum, sed & mensium itinere confluunt nemine persequente, accusantes semetipsos, quod Plato in Gorgia eos, qui justi evadere cupiunt, facere præcipit, ut sententia istorum recepta injunctam pœnam opere expleant. nihil enim de iis dico, qui ex præcepto inde ab ultimis terræ finibus vel ultro accurunt, vel inviti pertrahuntur. Quis vero non obstupescat dum in publico consistorio Papam responsa dantem & oracula fundentem audit? quis non admiretur dum ista videt? sed quid plura de his dicere attinet? id vero quod de Apostolorum reliquiis dicebam quantum huic Urbi contulerant, videre li- *Edit. Parif. pag. 115.*

B cet ex Commentariis Chrysostomi in epistolam Pauli ad hos ipsos Romanos, si recte memini, sub finem; ubi vir non solum ore, sed & animo vere aureus, totum sermonem & aureum illud scriptum concludens, veluti divino furore concitatus, bis terve & sæpius exclamat: Cuperem videre urbem illam, Romam scilicet: in qua hæc & alia de Apostolis corporumque eorum sepultura, & præsentia referuntur: cuperem illos pedes cuperem manus, cuperem capita videre. Nec cessat, instar eorum qui impotenti amore laborant, singula membra recensere; & sexcenties eadem dicere. Sed hæc quidem nunc missa faciamus; neque enim litte-

C rarum modus tam prolixum sermonem admittit: & qualiacumque tandem dixerimus, nihil de iis pro dignitate dixisse videbimur: tum vero pauca duntaxat principio dicturus eram: sed non observavi me longius modum excessisse. Hæc autem velut appendicem litterarum mearum animi oblectandi gratia scribere volui: præsertim cum in tuis ad me litteris id quoque inter alia positum repererim, quod parum scribam. Hasce autem litteras dare festino, ne antequam Venetias perveniant, ejus civitatis triremes jam discesserint. Sed profecto in hujusmodi re id longe difficillimum est, recte incipere, & bene finire: nam tota res extremitatibus de-

D finitur, & formam inde accipit. & multi ut nesciunt unde incipiendum, ita neque ubi finis imponendus sit, quos, postquam cœperint, semper loqui necessum est. Ego autem tanto temporis spatio isto modo apud Celsitudinem Tuam silui, ut cœpta vix tandem iterum oratione cito desinere nequeam. Sed ut in præteritis intermissæ orationis silentio, ita nunc loquacitati meæ ignosces. Sed cum hujusmodi rebus apud te expositis finis necessario faciendus sit: nolo tamen propterea nostræ civitati injuriam facere. facerem vero si in hisce desinerem. Ego enim oculis hæc perlustrans, quæ de structuris & nativis ac arte paratis ornamentis dixi, admiror equidem priscam illius Urbis

E magnificentiam & potentiam, & iisdem delector: præsertim quod iis quæ apud nos extant, perquam similia esse videam: scis enim vel solam quarumdam rerum similitudinem delectationem conjunctam habere, ubi quædam persimillima videmus, præsertim dum filium patri, vel filiam matri, aut fratres sibi invicem similes esse conspicimus; idque multo magis si nos propin- *pag. 116.*

quitate quadam contingant. Existimo autem nostram urbem habere, & ea quidem non pauca, quæ delectare aliquem possint, præsertim hominem patriæ amantissimum, dum a suis peregre abest. neque enim ullam umquam filiam matri adeo per omnia similem fuisse arbitror, quam illa huic. Et hæc licet ita se habeant, (nullam enim matri invidiam suboriri puto dum filia laudatur: ut econtra filiam matris laudibus invidere iniquum est.) nostram tamen palmam obtinere existimo: nam veteres quantum licet inter se comparo. Quid enim vel natura, vel ars in hac Urbe produxit, quod & apud nos non existeret? tum reliquiæ ipsæ reliquiis similes. Si qua enim in re hæc excellere videatur, nobis quoque non desunt alia quæ iis opponamus. Nam multa apud nos fuere, & sunt quoque hodie, quæ in ea non reperias: tum vero plurima in melius provecta fuere. idque non immerito. hæc enim ad nullum omnino proprium exemplar respiciens id satis habebat, ut cæteras omnes excelleret: illa autem hanc exempli instar intuens, & veluti ad primarium exemplar, ut satis superque perspicere licet, elaborata, multa & meliora & splendidiora produxit. nam hominum opera ubi cum aliis certant pulchriora evadere possunt: & parentum pulchritudo pulchritudinem liberorum, ut & magnitudo magnitudinem, majorem ut plurimum producit: quod in matribus præsertim, non hominum dumtaxat, sed & aliorum animantium fieri audimus. Quocirca non mirandum est, si eum ea magnitudine & pulchritudine sit prædita, majorem & pulchriorem produxerit. hæc enim matris laus est. Sicut vice versa matris pulchritudo filiæ pulchritudinem auget. nec aliam cum alia, sed ipsam quodammodo cum semetipsa, novam, scilicet Romam cum veteri comparare licet. ita ut iniquos in hujusmodi rebus arbitros esse nequaquam oporteat, præcipue nos, qui & illius & hujus bonorum particeps sumus: illius scilicet filii, hujus nepotes. Sed utraque nobis gloriandum est; quemadmodum illi solent qui nobilitatem suam ad plures referunt, nec parentes solum magnos pulchrosque, sed & majores atque cognatos hujusmodi, aut fortassis etiam meliores possunt recensere. Parentibus autem maximopere exoptandum est, ait ille, ut a liberis vincantur, quod in his quoque nos suspicari oportet, quocirca admodum quidem pulchram & formosam matrem esse ajo: filiam tamen multo pulchriorem, ut nec isti alterius metropolim & matrem; nec huic alterius coloniam filiamque esse, nec umquam, sicut modo dixi, tanta in matre & filia, quanta in hisce, similitudo fuerit. ita ut hujus pulchritudo, instar ignis aut radii aliunde accensi ab illa acceperit augmentum. Nam si nihil aliud nobis dicendum suppeteret, situs ille versus utramque continentem, Europam dico, & Asiam; & connexio septentrionalis & meridionalis maris, ita ut hinc continentium, isthinc æquorum, vel potius utrorumque beneficio orbem terrarum gentesque illius, tamquam communi quodam vinculo conjungat, rursumque a se invicem secludat ipsa vel-

Edit. Parif. pag. 117.

A καὶ νομίζω δὲ ἐπὶ τῆς ἡμετέρας εἶναι, καὶ τοῦτο γε οὐκ ὀλίγον, ὃ τέρπειν δύναται ἄνθρωπον μάλιστα φιλόπατριν, τῆς οἰκείας ἀποδημοῦντα. οἶμαι γὰρ μηδεμίαν πώποτε θυγατέρων μητρὶ οὕτως ἀκριβῶς, ὥσπερ ἐκείνην ταύτῃ, ὁμοίαν γεγενῆσθαι. ἀλλὰ καὶ τούτων τοιούτων ὄντων, (οὐ φθόνος γὰρ οἶμαι μητρὶ θυγατρὸς ἐπαινουμένης· ὥσπερ αὖ οὐδὲ τοὐναντίον δίκαιον, θυγατρὶ φθόνον ἐγγίνεσθαι μητρὸς ἐγκωμιαζομένης,) ἡγοῦμαι νικῆσαι τὴν ἡμετέραν. τὰς παλαιὰς γὰρ ὡς ἔνεστι παραβάλλω, τί γὰρ ἐν ταύτῃ εἴτε τῶν φυσικῶν, εἴτε τῶν τεχνητῶν γέγονεν, ὃ μὴ καὶ παρ' ἡμῖν; καὶ τὰ λείψανα δὲ αὐτὰ τοῖς λειψάνοις ὅμοια. εἰ γὰρ καὶ ἐπί τινων αὕτη δοκεῖ πλεο- B νεκτεῖν, ἀλλὰ καὶ τούτοις αὖ ἔχομεν ἡμεῖς ἕτερα ἀντιτιθέναι. πολλὰ δὲ γέγονε καὶ ἔστι παρ' ἡμῖν, ἃ μὴ καὶ παρ' αὐτῇ. καὶ πλείω δὲ ἀληθῶς ἐπὶ τὸ βέλτιον προϊόντα. εἰκότως αὕτη μὲν γὰρ πρὸς οὐδὲν παράδειγμα τὸ ὅλον ὡς εἰπεῖν ἴδιον ἀφορῶσα, ἠρκεῖτο τῇ κατὰ πάντων ἁπλῶς ὑπεροχῇ. ἐκείνη δὲ πρὸς παράδειγμα ταύτην βλέπουσα, καὶ ὥσπερ πρὸς ἀρχέτυπον, ὡς ἔστιν ἀκριβῶς ἰδεῖν ταύτην γινομένη, πολλὰ πρὸς βέλτιον καὶ λαμπρότερον προήγαγεν. ἔργα δὲ ἀνθρώπων ἄλλοις ἁμιλλώμενα δύνανται ἐπὶ τὸ κάλλιον προβαίνειν· καὶ κάλλη δὲ γονέων κάλλεσι τέκνων ὡς ἐπὶ τὸ πολὺ πρὸς τὸ βέλτιον συμβάλλεται, καὶ μεγέθεσι με- C γέθη, μάλιστα ὡς ἀκούομεν μητέρων οὐκ ἐπ' ἀνθρώπων, ἀλλ' ἤδη καὶ ἐπ' ἄλλων ζώων. Οὐδὲν τοίνυν θαυμαστὸν, οὕτω μὲν μεγάλην, οὕτω δὲ ἄρα καλὴν οὖσαν, μείζω καὶ καλλίω τετοκέναι· καὶ τοῦτο δὲ τῆς μητρὸς αὖ ἔπαινος γίνεται. καὶ τὰ τῆς μητρὸς αὖ κάλλη προστίθησι τοῖς τῆς θυγατρὸς, καὶ οὐκ ἔστιν ἄλλην παρ' ἄλλην, ἀλλ' αὐτὴν τρόπον τινὰ παρ' ἑαυτὴν, τὴν νέαν παρὰ τὴν ἀρχαίαν Ῥώμην παραβάλλειν. ὥστε οὐ χρὴ κακοὺς διαιτητὰς ἐν τοῖς τοιούτοις γίνεσθαι, ἡμᾶς μάλιστα, οἳ καὶ τῶν ἐκείνης ἀγαθῶν καὶ τῶν ταύτης κληρονομοῦμεν. τῆς μὲν υἱοὶ, τῆς δὲ υἱωνοὶ τυγχάνοντες. ἀλλὰ δεῖ μᾶλλον ἐπ' ἀμφοτέραις D καλλωπίζεσθαι, ὥσπερ οἱ τὴν αὐτῶν εὐγένειαν πρὸς πλείους ἔχοντες ἀναφέρειν, καὶ οὐ γονεῖς μόνον μεγάλους καὶ καλοὺς, ἀλλὰ καὶ προγόνους τοιούτους ἢ ἐγγὺς, ἴσως δὲ καὶ ὑπερέχοντας δυνάμενοι καταλέγειν. γονεῦσι δὲ αὖ εὐχῆς ἔργον, ὥς τις ἔφη, παίδων ἡττᾶσθαι. ὥστε δίκαιον ἡμᾶς ἐν τούτοις ὑποπτεύειν. Λέγω τοίνυν καλὴν μὲν σφόδρα καὶ ὡραίαν γενέσθαι τὴν μητέρα. καλλίω δὲ πολλοῖς εἶναι τὴν θυγατέρα· μήτε μὴν ταύτην προσήκειν ἄλλης μητρόπολιν καὶ μητέρα εἶναι. μήτε ἐκείνην ἄλλης ἀποικίαν καὶ θυγατέρα· μήτε μὴν ἐν μητρὶ καὶ θυγατρὶ, ὅπερ ἔφην, ὅσην ἐν ταύταις ποτὲ ὁμοιότητα γενέσθαι· τόγε μὴν ταύτης κάλλος, E ὥσπερ τινὸς πυρὸς ἢ ἀκτῖνος ἔξαψιν, ἀπ' ἐκείνης ἐπίδοσιν εἰληφέναι. εἰ γὰρ μηδὲν ἕτερον λέγειν ἔχομεν, ἀλλ' ἡ πρὸς ἀμφοτέρας τὰς ἠπείρους, τήν τε Εὐρώπην λέγω καὶ Ἀσίαν, θέσις, ἀλλ' ἡ συνάφεια τῆς τε ἀρκτῴας καὶ μεσημβρινῆς θαλάσσης, ὥστε τῇ μὲν διὰ τῶν ἠπείρων, τῇ δὲ διὰ τῶν θαλασσῶν, μᾶλλον δὲ δι' ἀμφοτέρων, ὥσπερ ἐν κοινῷ τινὶ συνδέσμῳ συνάπτειν καὶ κλείειν αὖθις ἀπ' ἀλλήλων, ὥσπερ ἐπὶ πυ-

λῶν

λῶν ἱσαμένην, τὴν οἰκουμένην, καὶ τὰ ἐπὶ ταύτης ἔθνη, τίσιν οὐκ ἂν δόξειε μόνον χρήσιμον καὶ ὡραῖον, ἀλλὰ καὶ βασιλικὸν εἶναι; ὅγε μὴν λιμὴν, νικῶν οἶμαι τοὺς ἁπανταχοῦ μεγέθει καὶ ἀσφαλείᾳ, πάσας ἂν τὰς ἁπανταχοῦ πώποτε γενομένας τριήρεις καὶ ὁλκάδας οἷός τε ὢν δέξασθαι· τὸ δὲ κύκλῳ καθ᾽ ὅλην ὡς εἰπεῖν ἑαυτὴν θαλασσαίαν τε καὶ ἤπειρον πανταχόθεν ἔχειν, ὥστε τὴν αὐτὴν πάντῃ τε ἄπειρον καὶ νῆσον εἶναι, πρόσγειόν τε τὴν αὐτὴν ἅμα καὶ πελαγίαν· ὁ δὲ τῶν τειχῶν στέφανος ἀληθῶς καὶ κύκλος οὐκ οἶδα ἐν τίνι δυναμένων λείπεσθαι τῶν Βαβυλωνίων· ἡ δὲ τῶν ἐν αὐτοῖς πύργων πυκνότης καὶ τὸ μέγεθος καὶ ὕψος, ὥστε ἕκαστον, εἰ καὶ μόνος ἦν δήπου, καθ᾽ ἑαυτὸν ἀντ᾽ ἄλλης τινὸς ὅλης οἰκοδομῆς δύνασθαι θαῦμα παρέχειν τοῖς θεωμένοις. ὧν δὲ καὶ μόνων τῶν ἀναγωγῶν εἰς αὐτὰ κλιμάκων ἄξιον εἶναι θαυμάσαι τὸ μέγεθος, καὶ τὸν ὄγκον, καὶ οἰκοδομήν· αἱ δὲ τῶν τειχῶν πύλαι, καὶ ἡ τῶν ἐν αὐτοῖς πύργων λαμπρότης· τὸ δὲ πρὸ τοῦ τείχους τεῖχος ἕτερον, ἑτέρᾳ πόλει μόνον ἂν ἀντὶ ἐρύματος ἀσφαλοῦς ἀρκέσαν· ἡ δὲ τῶν ἐπὶ τούτοις τάφρων διωρυχὴ καὶ οἰκοδομὴ, καὶ τὸ τούτων εὖρος τε καὶ ὕψος, τὸ δὲ πλῆθος τῶν ἐν αὐταῖς ὑδάτων· ὥστε ᾧ μέρει μόνον ἐλείπετο, καὶ ταύτῃ δοκεῖν πελαγίαν τὴν πόλιν εἶναι διὰ τοῦτον, ὥσπερ αὖ ἐν ᾧ μέρει πελαγία φαίνεται, πρόσγειον διὰ τὰς νήσους· ὅθ᾽ ὅπερ εἶπέ τις περὶ τῆς Ἀθηναίων πόλεως καὶ παραπλεῖν αὐτὴν δύνασθαι καὶ περιπλεῖν, καὶ πεζεύειν, ταύτην δὲ δίχα πεζεύειν, καὶ αὖθις πελαγίους εἶναι διὰ ταύτης, τίνι δύναται καταλιπεῖν ὅλως ὑπερβολήν; μᾶλλον δὲ τίνι συγχωρῆσαι δύναται, ἐγγὺς αὐτῆς ἐλθεῖν ἢ ἐξισωθῆναι; Τάγε μὴν ἔνδον ἦν ὄντως ἄξια τῶν τειχῶν καὶ τοῦ παραδείγματος πρὸς ὃ τὴν ἀρχὴν ὡς εἶπον γέγονε, καὶ τῆς μητροπόλεως, καὶ μητρὸς, καὶ τῆς ἀξίας, καὶ δυνάμεως τῶν οἰκισαμένων. δύο γὰρ τὰ δυνατώτατα, καὶ φρονιμώτατα ἔθνη, τὸ μὲν τότε ἄρχον, τὸ δὲ εὐθὺς ἄρξαν πρὸ ἐκείνου, καὶ πάσῃ τέχνῃ, καὶ φιλοτιμίᾳ, καὶ ἁβρότητι κομῶντα, Ῥωμαῖοί τε, καὶ Ἕλληνες, συνελθόντα, ταύτην πεποιήκασι, καὶ πᾶσι δὲ τοῖς ἄλλοις ἔθνεσι, καὶ τοῖς ἑαυτῶν. οἷς αὐτὴν ἐχρήσαντο πρὸς ὑπηρεσίαν. καὶ πρῶτον μὲν ἐξελέξαντο τόπον ἔδαφος τῇ πόλει, ἄξιον τῆς μελλούσης πόλεως, ἣν ἐβάλοντο κατὰ νοῦν, καὶ τῆς ἡγεμονίας. ὅπως ἐπὶ ταύτης καθήμενοι ἔχωσιν εὐφυῶς κυβερνᾷν πᾶσαν τὴν οἰκουμένην. ἐξελέγοντο δὲ ἄρα ταύτην οὐ μόνον πρὸς κυβέρνησιν τῆς οἰκουμένης πάσης, ἀλλὰ καὶ ἐκ πάσης ὡς εἰπεῖν, τῆς οἰκουμένης, ἅτε οὔσαι ταύτης ὄντες, καὶ μὴ ἀγνοοῦντες ὃ κατ᾽ ἀρχὰς τῇ Ῥώμῃ καὶ πολλαῖς ἄλλαις τῶν πόλεων ἐνδόξοις ἀπὸ τύχης γενομέναις οὐ συνέβη. ἀλλὰ κατ᾽ ἄλλας τύχας ἢ αἰτίας ὡς ἔτυχεν ἄλλαι ἀλλαχοῦ γενόμεναι, εἶτα αὐξηθεῖσαι, οὐ δίκαιον ἔκριναν ἐκλιπεῖν αὐτὰς καὶ τὴν οἴκησιν πρὸς τὸ βέλτιον ἀμεῖψαι· ἀλλὰ τὴν μὲν ἀπὸ τῆς τέχνης ὡς οἷόν τε ἦν ἐπήνεγκαν παραμυθίαν. τοῖς δὲ ἀπὸ τῆς χώρας, καὶ τῆς θέσεως ἠγάπησαν. ἔνιαι δὲ καὶ διὰ τέλους, ἠνέσχοντο παρὰ τῆς φύσεως τοῦ τόπου ἀηδιῶν πολλῶν· ὥστε μὴ πᾶσιν εἶναι καλάς, ἀλλὰ τοῖς μεγίστοις ἐλαττοῦσθαι· ὅπερ καὶ ἐπὶ τῶν κατ᾽ ὀλίγον αὐξανομένων οἰκιῶν συμβαίνει. ἡ δὲ ἡμετέρα πρῶτον αὐτὸ τοὔδαφος, ὡς εἶπον, τοιοῦ-

A ut ad portas sita, quibus quæso id non utile solum & pulchrum, sed etiam regium non videretur? nam portus meo judicio cæteris totius orbis magnitudine & securitate antecellens, omnium ubivis locorum contextarum triremium naviumque capax: tum quod tota, ut ita dicam, mari & continenti circumcirca cingitur, ita ut eadem & continens undique, & insula item terrestris simul atque maritima sit. mœnium quoque corona revera & ambitus, qui nescio an ulla in re Babyloniis cedere possit: & turrium in iisdem frequentia, magnitudo & altitudo; ita ut quælibet earum si vel sola esset, præ quavis alia integra structura admirationem spectatoribus incutere queat: cum vel solis B graduum quibus conscenduntur magnitudo, crassities, & structura admiratione digna sit: tum vero mœnium, portæ turriumque in iis eminentium splendor: & pro mœnibus antemurale, quod solum alteri civitati pro securo munimento sufficeret: tum adhuc fossarum egestio & structura, earumque latitudo & profunditas, & aquæ in iisdem copia: ut qua tantum parte ea deerat, isthic quoque illius beneficio, urbs maritima videatur: quemadmodum vice versa, qua parte maritima est, propter insulas vicinas continenti adhærere videatur: ut quod de Atheniensium civitate quidam dixit, eam & prænavigari & circumnavigari pedibusque circuiri C posse, hæc etiam gemino ambitu circuatur, eademque nihilominus propter aquæ copiam maritima sit: hæc, inquam, omnia quid reliquum faciunt quo superari a quoquam possit? quin potius quo saltem accedi de proximo possit & exæquari? interiora autem urbis mœnibus & exemplari ad quod principio extructam fuisse dixi, & metropoli matrique tum conditorum gloriæ & potentiæ omnino respondebant. Duæ enim potentissimæ prudentissimæque gentes, quarum altera tunc temporis imperium obtinebat, altera paulo ante obtinuerat, omni artium & D ambitionis, deliciarumque genere excellentes, Romani, inquam, & Græci conjunctis studiis hanc perfecerunt, atque ea in re & reliquarum gentium omnium & suorum opera ac ministerio fuerunt usi. & principio quidem locum urbi condendæ elegerunt dignum sane & urbe quam animo moliebantur & imperio, ut in ea residentes totum terrarum orbem commode regere possent. Elegerunt igitur hanc non solum ad orbis universi gubernationem, sed etiam ex orbe universo, tamquam ejusdem Domini, nec ignorantes quid urbi Romæ multisque aliis celeberrimis civitatibus, quæ fortuito cœperunt, in principio E non obtigerit. nam cum aliæ aliis in locis diversos ob casus causasve extitissent, auctæ deinceps iniquum judicarunt deserere sedem suam, & in melius mutare: sed quantum licuit remedium ab arte adhibuerunt; loci autem situsque qualitatem boni consuluerunt. aliæ vero multas incommoditates ex loci natura provenientes perpetuo sustinuerunt, ita ut non omni commoditatum genere abundarent, sed maximis destituerentur: quod etiam in ædibus quæ seorsim ampliores fiunt, contingit. Nostra autem Urbs primo solum ipsum a

Edit. Paris. pag. 118.

ut diai, hujusmodi nacta est ex libere dijudicantium eligentiumque arbitrio, quale ad omnem delectationem & commodum, dignitatemque ei quæ orbis Imperium habitura esset, conveniebat. Nec falsos fuisse etiam experientia ipsa nobis jam ostendit. Deinde omnes artes ad exornandam eam contulerunt divites statim sumptuose, magnates magnifice, & reges regie ædificantes. Quomodo enim homines ex tali urbe talibusque ædibus profecti incommode, & sordide habitare potuissent? posteriores autem semper imitabantur priores, quod in structuris præcipue fieri solet. Quapropter natura Marmoream Insulam ante januas ipsas ad ædificandum eis præparavit: veluti non ignara qualis urbs quibusque auctoribus isthic excitari debebat: & materiam atque apparatum ad pulchritudinem dignitatemque ejus necessarium jam autem se ponens. At illi nequaquam contenti marmore candido, & Thessalicis, Pariisque, & Peloponnesiacis illis variegatis lapidibus, etiam ea Arabia & Ægypto, tum ex Libya & Marmarica, quin imo ex ipsa torrida mundi regione ad hujus exædificationem suaa erui curabant. Ita statim fundabant domus, quæ ob magnitudinem oppida integra esse poterant. templa autem hujusmodi struebant, ut humana arte & ab hominibus structa vix eredas. Quod eam ex pietate in Deum suetit profectum, recte ab ipsis factum fuit. Si enim sacrilegorum atque impiorum hominum tot ac talia fuerint, quotnam & qualia eorum esse oportebat qui verum numeo colunt? & si dæmoniis a suis cultoribus hujasmodi ædificia extructa atque oblata fuere, quænam Servatori nostro grati animi monimenta offerenda erant quod ab iisdem nos liberasset? sed omitto hæc, omitto etiam tecta & operta ambulacra, quæ per omnem urbem quondam ostendebantur: ita ut totam sine luto vel liceret peragrare. omitto etiam columnas ea uno solidoque saxo, quarum singulæ turrim vel castellum aliquod non male constituere possent. Transeo porticus, bases statuarum, & pyramides: prætermitto regiarum ædium in diversis urbis partibus multitudinem, magnitudinemque & pulchritudinem, item theatra, castra, prætoria, circos, gymnasia, hyppodromos: ut & navalia & moles mœnibus portubusque objectas: tum fossas & fundamentorum ac murorum substructiones usque ad mare porrectas, & opportunas ex quavis parte navibus recipiendis stationes: quinetiam turres in medio maris & profundo pelago, & in ipso reciprocantium fluctuum vorticoso æstu, & in turribus hisce dulces aquas. Præter hæc sublimes & pensiles per murorum arcus aquarum ductus, quos fluvios aerios appellare possis, ex locis remotioribus ad aliquot dierum iter, ut ajunt, perductos: tum perfossa obstantium montium dorsa. Omitto etiam receptacula & cisternas quibus aquæ illæ primum excipiuntur: quæ ad aquæductus maris vel stagni instar obtinent: quarum aliæ tectis adopertæ visum latent, aliæ in propatulo & apertæ scaphis navigari possunt. earumque nonnullæ jam intus sub convexo fornicum, aliæ superius in tectis maal-

Edit. Paris. pag. 119.

A τῶν κρινόντων, καὶ αἱρουμένων εἶχε κατ' ἐκλογὴν, οἷον ἔπρεπε πρὸς πᾶσαν τέρψιν τε, καὶ χρείαν, καὶ ἀξίαν τῇ μελλούσῃ τῆς οἰκουμένης ἄρξειν εἶναι. ὅτι δὲ καλῶς ἔκριναν, δείκνυται καὶ ἡμῖν νῦν ἀπὸ τῆς πείρας. εἶτα τὰς ἁπανταχόθεν τέχνας, εἰς καλλωπισμὸν αὐτῆς συνελέξαντο, εὐθὺς πλούσιοι πλουσίως, καὶ μεγάλοι μεγάλως, καὶ Βασιλεῖς βασιλικῶς οἰκοδομήσαντες. πῶς δὲ ἔμελλον ἀπὸ τοιαύτης πόλεως, καὶ τοιούτων οἰκιῶν ἐλθόντες φαύλως καὶ σμικροπρεπῶς οἰκήσειν; οἱ δεύτεροι δὲ ἀεὶ ἐμιμοῦντο τοὺς προτέρους. ὅπερ ἐπὶ τῶν οἰκοδομιῶν μάλιστα συμβαίνει. προπαρεσκεύασε δὲ ἄρα ἡ φύσις αὐτοῖς καὶ τὴν πρὸ τῶν θυρῶν εὐθὺς μαρμαρίνην νῆσον πρὸς τὰς B οἰκοδομίας. ὥσπερ εἰδυῖα, οἵα πόλις καὶ παρ' οἵων ἔμελλεν ἐκεῖ κτισθήσεσθαι, καὶ τὴν ὕλην καὶ τὴν ἀποσκευὴν πρὸς τὸ ἐκείνης κάλλος, καὶ τὸ ἀξίωμα συμβαίνουσαν προαποτιθεῖσα. τοῖς δὲ ἄρα οὐκ ἤρκεσε τῶν λευκῶν μαρμάρων οὐδὲ τῶν ἀπὸ Θετταλίας, καὶ Πάρου, καὶ Πελοποννήσου λίθων τούτων τῶν ποικίλων, ἀλλὰ καὶ ἀπὸ Ἀραβίας, καὶ Αἰγύπτου, καὶ Λιβύης, καὶ Μαρμαρικῆς, καὶ αὐτῆς τῆς διακεκαυμένης τὰ πρὸς οἰκοδομὴν ταύτης ὠρύττοντο· ὥστε ἐπήξαντο μὲν εὐθὺς οἰκίας, οἵας ἤρκεσεν ἂν πόλεις εἶναι τῷ μεγέθει. ἐδείμαντο δὲ ναοὺς, οἵους ἀπιστεῖσθαι ἀνθρωπίνῃ τέχνῃ καὶ παρ' ἀνθρώπων γεγενῆσθαι. ἤδη καὶ τῆς εἰς Θεὸν εὐσε- C βείας συμβαλλομένης, καλῶς τοῦτο ποιοῦντες. εἰ γὰρ τῶν ἱεροσύλων, καὶ ἀθέων γεγόνασι τοσοῦτοι καὶ τοιοῦτοι, ποίους τινὰς καὶ πόσους ἐχρῆν εἶναι τοὺς τῶν τὸν ἀληθῆ Θεὸν σεβόντων; καὶ εἰ τοῖς δαιμονίοις παρὰ τῶν ἐκείνοις δουλευόντων δέδμηται, καὶ προσένεκται τοιαῦτα, τίνα ἔδει τῷ σωτῆρι χαριστήρια τῆς ἀπ' ἐκείνων ἀπαλλαγῆς προσενεχθῆναι; Ἀλλ' ἐῶ ταῦτα. ἐῶ δὲ στεγαστοὺς, καὶ φρακτοὺς δρόμους διὰ πάσης ποτὲ τῆς πόλεως διηκονουμένους· ὥστε ἐξεῖναι ἄνευ πηλοῦ καὶ ἀκτῖνος πᾶσαν διιέναι. ἀφίημι δὲ μονολίθους κίονας, πύργων, ἢ φρουρίων ἕκαστον αὐτῶν καλῶς εἶναι δυναμένους. παραλείπω δὲ στοὰς, καὶ στηλῶν βά- D σεις, καὶ πυραμίδας. ἀφίημι δὲ βασιλείων ἄλλων κατ' ἄλλα μέρη τῆς πόλεως. πλῆθός τε, καὶ μέγεθος, καὶ κάλλος, καὶ θέατρα, καὶ στρατήγια, καὶ ἀγωνιστήρια, καὶ γυμνάσια, καὶ ἱπποδρόμους· ἔτι δὲ νεώρια, καὶ προχώσεις τειχῶν, καὶ ὅρμων, καὶ διώρυχας, καὶ τοὺς προβεβλημένους τῶν θεμελίων, καὶ τῶν τειχῶν ἀπὸ τῆς θαλάττης λίθους, καὶ τοὺς ὑποδεχομένους ἐκ παντὸς μέρους ναυστάθμους· καὶ τοὺς ἐν μέσῳ τῆς θαλάττης, καὶ τοῦ πελάγους, καὶ τοῦ βυθοῦ, ἐπὶ τῆς δίνης αὐτῆς, καὶ τῆς παλιῤῥοίας πύργους, καὶ τὰ ἐν αὐτοῖς γλυκέα ὕδατα. πρὸς δὲ τούτοις ἀγωγοὺς ὑδάτων, ὑπογείους καὶ κρεμαστοὺς ἀπὸ τῶν τειχῶν, ἀερίους ποταμοὺς λέγεσθαι δυναμένους, E πόῤῥωθέν ποθεν ἐκ μακροτάτου διαστήματος ἡμερῶν ὁδὸν, ὥς φασιν, ἀφικνουμένους· καὶ τὰς τῶν μεταξὺ παρεμπιπτόντων ὀρῶν διώρυχας, καὶ τὰς ὑποδεχομένας πρότερον τούτους δεξαμενὰς, ἢ θαλασσῶν, ἢ λιμνῶν λόγον πρὸς ἐκείνους τότε γε ἐχούσας, τὰς μὲν κατεστέγους καὶ ἀφανεῖς, τὰς δὲ ἀναπεπταμένας καὶ φανερὰς ὁλκάσι δυναμένας πλεῖσθαι. ὧν ἔνιαι νῦν αἱ μὲν ἐπὶ τοῦ κύτους ἔνδον, αἱ

αἳ ἄνω ἐπὶ τῶν στεγῶν μέγιστα δένδρα τρέφουσι, καὶ τοῖς ἔχουσιν ἀρκοῦσιν ἀντ' ἀγρῶν, καὶ κήπων εἶναι· καὶ τὸ πλῆθος τῶν ἐν αὐταῖς κιόνων καὶ ἀψίδων· ἄλλας δὲ αὖ ὑπογείους καὶ ὀρυκτὰς πᾶσαν τὴν πόλιν ὑπερῴαν καὶ κρεμαστὴν, καὶ τὰ κάτω διάκενον ποιούσας, καὶ τοὺς δημοσίους ὑπονόμους, ἃ καὶ παρὰ τῇδε πλεῖστα. Τί δὲ περὶ λουτρῶν ἂν λέγοιμι; ὧν τὸ ἱστορούμενον ἐν αὐτῇ γενέσθαι πλῆθος ἀπιστεῖται, καὶ τῶν ἀπὸ κρηνῶν ὑδάτων, ἃ κατ' οἰκίαν τε καὶ διὰ τῆς πόλεως ἐχεῖτο; τί δὲ περὶ τῶν προαστείων, τῷ μὲν μεγέθει ἡμερῶν ὁδὸν οὐκ ὀλίγων ἀποτεινόντων, τῷ δὲ κάλλει, καὶ τῇ χρείᾳ, καὶ τῇ κατασκευῇ τοῖς ἐπὶ τῆς πόλεως κατὰ πᾶν εἶδος ἁμιλλωμένων; ἀπὸ γὰρ Ἀβύδου, καὶ Σηστοῦ, καὶ Ἑλλησπόντου μέχρι Θρᾳκίου Βοσπόρου, καὶ ἱερῶν, καὶ Κυανέων, εἴτε ἀπὸ τῆς Ἀσίας, εἴτε ἀπὸ τῆς Εὐρώπης κύκλῳ τὴν Προποντίδα, καὶ τὰς ἐν αὐτῇ κυκλάδας τῇ πόλει νήσους, καὶ τὸ κέρας τοῦ λιμένος, καὶ ὅσον ἄνωθεν μέχρι Φάρου περιιοῦσι, συνεχῆ προάστεια ἦν τῇ πόλει. ὧν εἴτις τοὺς ναοὺς, καὶ τὰς οἰκοδομὰς βούλοιτο καταλέγειν, ἱστορίαν ἂν καὶ ταύτην οὐ σμικρὰν ἀναγκάζοιτο συγγράφειν· καὶ αὐτὰ δὲ τὰ προάστεια, οὐκ ὀλίγῳ μέρει διὰ τοῦ μακροῦ λεγομένου τείχους ἀπὸ τῆς κάτω θαλάττης εἰς τὴν ἄνω καὶ τὸν Εὔξεινον διήκοντος πόλις ἐγένετο ὑπαρχία δυναμένη εἶναι· τῷ μεγέθει τοσαῦτα περικλείουσα, ὅσα ἐν ὁμοῦ πάσαις ταῖς ἄλλαις ἔργον ἦν ἴσως εὑρεῖν. αὐτὸ δὲ τὸ μακρὸν τεῖχος, οὐ μακρὸν μόνον, ἀλλὰ καὶ πλατὺ τεῖχος δικαίως καὶ ὑψηλὸν κατ' ἐπωνυμίαν ἠδύνατο καλεῖσθαι. Τοσοῦτον μὲν δὴ, ὥστε εἰ καὶ τοῖς τυχοῦσι λίθοις, καὶ ταῖς ἀπὸ τῶν ποταμῶν, καὶ χειμάρρων βώλοις, καὶ χερμαδίοις ἁπλῶς συνέκειτο, ἄξιον ἦν θαυμάσαι. τοιούτους δὲ εἰ δὲ βάλλει τηλικούτους τοὺς λίθους ἔχον, καὶ τοιαύτην τὴν δομησαμένην τέχνην, ὥστε εἰ καὶ ὀλίγων ὀργυιῶν ἦν, δικαίως ἂν παρέχειν ἔκπληξιν τοῖς θεωμένοις ὄρος ἂν μᾶλλον ἢ τεῖχος· ὥστε εἰ κρεμαστὸν ἦν, ὥσπερ τι σχοινίον ἢ δοκὸς ἀποτεταμένον, ἀνάλογον τῷ μήκει τὸ πάχος εἶναι, ὥσπερ ἐν ἐκείνοις ζητεῖται πρὸς τὸ μὴ ἀπορρήγνυσθαι· ἀλλ' ὅτε καὶ τὸ τῆς πόλεως· ἢ μᾶλλον τὰ τῆς πόλεως, ὥσπερ εἴρηται, ἐπὶ τοσαύτης, καὶ οὕτω δυνατωτάτης τότε ἀρχῆς, μεγαλοπρεπείας μᾶλλον χάριν, ὥσπερ ἄλλο τι τῶν κατὰ πόλιν θαυμαστῶν γενόμενα ἢ χρείας. ὅσῳ γὰρ ἧττον μεγέθους τειχῶν τότε ἐδεῖτο, τοσούτῳ πλείω, ἔτι δὲ μείζω ταῦτα περιεβάλετο. οἰομένη πόλιν τε πρώτως ἀπὸ τῶν τειχῶν φαίνεσθαι, καὶ καλεῖσθαι, καὶ πρὸς τὸν ἅπαντα δὴ χρόνον, οὐ πρὸ τὴν παροῦσαν μόνον ἡλικίαν ταῦτα γίνεσθαι· ἐφ' οὗ πολλὰ κατ' ἀνθρώπους δυνάσθαι συμβῆναι. καὶ τῶν μεγίστων μὲν εἶναι τὸν παρὰ τῶν πολλῶν φθόνον· μεγίστας δὲ εἶναι καὶ τὰς μεταβολάς· ὥστε οὐ μόνον τῆς δυνάμεως τῶν πεποιηκότων, ἀλλὰ καὶ τῆς εἰς τὸ μέλλον προνοίας καὶ φρονήσεως αὐτῶν μέχρι πολλοῦ σύμβολα ἀπομένειν. ἀλλ' οὐδὲ μνήματα, ἢ τάφους, ἢ στήλας, ἢ ἀνδριάντας, ἐπὶ τῆς ἡμετέρας πόλεως ὄντας ἢ γενομένας βουλόμενος ἂν εἰπεῖν ἠπόρουν ἴσως· ἀλλ' ἐλάττω μὲν ἴσως ἤμελλον τῶν παρὰ τούτοις λέ-

A mas arbores nutriunt, & vicinis agrorum vel hortorum vicem præstant. Omitto in cisternis illis columnarum & fornicum multitudinem: tum alios subterraneos & effossos canales, qui totam urbem tabulati instar pensilem & subtus concavam efficiunt: item cloacas & meatus publicos: quæ omnia etiam in hac urbe longe plurima extant. Quid vero de balneis dicam: quorum vel numerum si referam, fidem non invenero? tum aquarum copiam, quæ ex fontibus per ædes & publice per urbem derivatur? Quid de suburbiis: quæ, si magnitudinem spectes, aliquot dierum itinere extra urbem protenduntur: si pulchritudinem, commoditatem & apparatum; cum ædificiis urbanis quovis genere cer-

Edit. Paris. pag. 120.

B tant. Nam inde ab Abydo, & Sesto, & Hellesponto usque ad Bosporum Thracium, & Fana, insulasque Cyaneas, sive ab Asiæ, sive ab Europæ latere Propontidis ambitum, ejusque insulas circa urbem sitas, tum etiam cornu portus, & quicquid inde ad Pharum usque protenditur, quis circuiverit, continua huic urbi suburbia erant. quorum templa & ædificia si quis enumerare vellet, illi historia, & ea quidem non parva texenda esset. Quin ipsa hæc suburbia non exigua sui parte per Murum longum, ut vocant, ab inferiori mari ad mare superius Pontumque Euxinum porrectum, & unam continuam urbem coalescunt: quæ integram posset constituere provinciam:

C quippe quæ magnitudine sua tantum in se complectitur, quantum in reliquis omnibus simul reperire forsan haud facile esset. ipse autem Murus longus, non solum longus, sed etiam largus altusque murus jure posset cognominari: cum talis ac tantus sit, ut si promiscue ex quibuscumque lapidibus fluminumque glareæ, & minutis petris constructus esset, utique admirationem mereretur. Sed ille hujusmodi saxorum mole constat, & tali arte est extructus, ut si vel ad paucas orgyas extenderetur, stuporem spectantibus haud immerito afferret: quippe cum mons verius sit, quam murus. adeo quidem ut si funis vel projectæ trabis instar pensilis esset,

D convenientem longitudini crassitiem obtineret quæ quidem in istis, ne disrumpantur, requiritur. Cum tamen murus ille & reliqua urbis munimenta, quæ dixi, validi ac potentissimi Imperii tempore, ut cætera admiranda opera illius urbis, potius ad magnificentiam quam usum extructa fuerint. Quanto enim minus murorum magnitudine tunc indigebat, eo & pluribus & majoribus cincta fuit. quippe cum crederent, urbem primum ex muris apparere, nomenque inde accipere: & hosce non præsenti tantum ætati, sed ad omne futurum tempus extrui: cujus progressu multa hominibus evenire possint; in *pag. 121.* quibus multorum invidia vel præcipuum locum obtinet: tum etiam maxi-

E mas rerum mutationes contingere. ita ut hæc non solum potentiæ conditorum, sed etiam providentiæ de futuris & prudentiæ argumenta quam diutissime superessent. Quod si monumenta, sepulchra, columnas, & statuas nostræ urbis commemorare vellem, quæ vel nunc extant, vel olim fuere, fortassis nec hic materies mihi deficeret. sed quamvis numero forte pauciora, quam

hic fine; attamen nonnulla illa longe pulchriora & splendidiora commemorem. nam quid Cæsaris illius sepulchrum, quem conditorem ac tutelarem ea Urbs agnoscit? quid vicina reliquorum monumenta eo loco ubi Imperatorum sepulturæ visuntur? res vel solo visu admiranda. quorum non pauca adhuc supersunt circa ædem SS. Apostolorum; multa quoque jam interierunt. alia etiam passim in templorum vestibulis extant. Quid vero statua illius Imperatoris qui legum auctor fuit? quam vicissim multæ aliæ statuæ ab ortu, si recte memini, maximis columnis impositæ undique cingebant. Sed & alias hujus generis statuas quamplurimas per urbem extitisse bases ipsarum & inscriptiones, quæ adhuc visuntur, ostendunt. quarum aliæ aliis in locis, sed plurimæ in Hippodromo extabant. quin & ipse olim multas alias vidi, quas nunc ablatas scio. nec desunt qui columnam quæ in colle Xerolopho extat, ut & alteram, quæ exadversum ad solem orientem, in colle qui a Tauro nomen habet, ductos, ex argento statuas sustinuisse affirmant: quarum quidem altera majoris, altera minoris Theodosii fuerit, hisce enim nominibus vulgo distinguuntur. Quantas autem, quam pretiosas, & quam pulchras eas fuisse oporteat, id vero ex basium pulchritudine, altitudine, splendore & magnificentia apparet. Verum mihi hæc eam animo revolventi interim in memoriam venit porta urbis, quæ in eadem via, & in eadem linea versus occasum quondam extabat; adeo ampla, ut turres integras & castra, si moveri potuissent suo loco, navesque onerarias cum armamentis & malis recipere posset: tum etiam porticus supra eam longe lateque resplendens, & marmorum in ipsa porticu magnitudo: ut & columna ante portam, quæ & ipsa statuam olim sustinuit. quin etiam pila in altero colle, qui ædibus tuis, in quibus nunc habitas, imminet: at & illæ quæ in strategio extant; cum quæ ad dexteram SS. Apostolorum visitur, multæque aliæ digne convenientibus statuis bases fuere. Sed quid ego de Porphyretica columna commemorem, quæ versus orientem in eadem regione extat, & crucem editissimam sustinet: quæ in area palatii Constantini magni erecta & dedicata fuit, & cæteras statuas omnes, omnesque columnas superat. nam & cælati operis magnam copiam habemus, quale in columnis illis circumcirca effigiatis visitur, quæ accuratissime effictæ sunt, ad imitationem earum, quæ hic extant. Sed illud opus superant statuæ istæ, quæ ex lapide porphyretico factæ sellis ad trivium insident, & secundum aliquos Agoranomia & principatus nuncupantur: tum enim altera in eadem via, paulo supra caput rivuli, qui urbem perlabitur, ex candido lapide vel marmore, quæ cubito inniti videtur. Sunt & alia hujus generis multa, quæ ipse quidem non vidi, sed in locis quibusdam abditis extare audivi. nam eas quæ sunt ante portam auream omitto. Sed & ipsam hanc portam, & marmoreas illius turres; tum Herculis labores, & Promethei tormentum, atque alia hujus generis summa & admirabili arte in marmore expressa quis digne admirari poterit? sed quod civitas illa non etiam

E.lib.Paris. pag. 122.

A Ἄγειν, κάλλιω δὲ ἔνια καὶ περιφανέστερα πολλῷ τῶν τῇδε. Τί γὰρ ὁ τοῦ κτίστου μὲν καὶ πολιούχου Βασιλέως τάφος, καὶ οἱ τῶν ἄλλων τῶν περὶ αὐτὸν ἐπὶ τοῦ βασιλικοῦ πολυανδρείου; ἃ μόνον θαῦμα ἦν ἰδεῖν. πολλοὶ μὲν κύκλῳ σωζόμενοι περὶ τὸν ναὸν τῶν Ἀποστόλων, πολλοὶ δὲ ἤδη καὶ ἀπολωλότες, καὶ ἄλλοι δὲ ἀλλαχοῦ τῆς πόλεως ἐπὶ τῶν προναίων; Τί δὲ ὁ τοῦ νομοθέτου Βασιλέως στήλη; καὶ περὶ τοῦτον δὲ αὖ, ἄλλαι στῆλαι γεγόνασιν, εἰ μέμνημαι πρὸς ἀνατολὰς πολλαὶ κιόνων ὑψηλῶν ἀνεχόντων. Ὅτι δὲ καὶ ἄλλοι πλεῖστοι ἐπὶ τῆς πόλεως τοιοῦτοι ἀνδριάντες ἦσαν, δείκνυται ἀπὸ τῶν φαινομένων βά-

B σεων αὐτῶν, καὶ τῶν ἐν αὐταῖς ἐπιγραμμάτων· ὧν ἄλλαι μὲν ἀλλαχοῦ, πλεῖσται δὲ ἦσαν ἐν ἱπποδρόμῳ· καὶ ἄλλας καὶ πλείστας εἶδον αὐτὸς πρότερον, ἃς νῦν οἶδα ἀφαιρεθείσας. εἰσὶ δὲ οἳ λέγουσι καὶ τὸν ἐπὶ τοῦ Ξηροῦ λόφου κίονα, καὶ τὸν ἀντικρὺ τούτου πρὸς ἥλιον ἀνίσχοντα ἐπὶ τοῦ ἑτέρου λόφου, ἀπὸ ταύρου καλουμένου, βάσεις σφυρηλάτων ἀργυρῶν ἀνδριάντων γεγενῆσθαι. τὸν μὲν τοῦ μείζονος, τὸν δὲ τοῦ ἐλάττονος, οὕτω γὰρ λέγονται, τοῖν Θεοδοσίοιν· ὡς πόσον ἐχρῆν γενέσθαι μεγάλους, καὶ τιμίους, καὶ καλούς, φαίνεται ἀπὸ τοῦ κάλλους, καὶ τοῦ ὕψους, καὶ τῆς λαμπρότητος, καὶ τῆς πολυτελείας τῶν κρηπίδων·

C Ταῦτα δὲ ἐνθυμηθεὶς ἐμνήσθην μεταξὺ καὶ τῆς ἐπὶ τῆς αὐτῆς ὁδοῦ τε καὶ γραμμῆς πρὸς δυσμὰς γενομένης παρὰ πύλας τῆς πόλεως, πύργους ὅλους ἃ φρούρια εἰσιόντα, εἴπερ οἷόν τε ἦν κινεῖσθαι, καὶ ὁλκάδας αὐτοῖς λήψεσι, καὶ ἱστοῖς δυναμένης δέξασθαι, καὶ τῆς ὑπὲρ αὐτῆς λαμπούσης στοᾶς πάρρωθεν καὶ τοῦ μεγέθους τῶν ἐν αὐτῇ μαρμάρων. ἔτι δὲ τοῦ πρὸ αὐτῆς κίονος, ὃς καὶ αὐτὸς στήλην ἀνεῖχε· καὶ ὁ ἐπὶ τοῦ ἑτέρου δὲ λόφου, τοῦ ὑπὲρ τῆς οἰκίας, ἣν νῦν οἰκεῖς, κίων ὕπο καλύμβος, καὶ ὁ ἐπὶ τοῦ Στρατηγίου, καὶ ὁ ἐπὶ τὰ δεξιὰ τοῦ ναοῦ τῶν Ἀποστόλων, καὶ πολλοὶ ἕτεροι, βάσεις ἀξίων αὐταῖς ἀνδριάντων ἦσαν. Τί γὰρ ἂν λέγοιμι

D περὶ τοῦ πρὸς ἕω ἐπὶ τῆς αὐτῆς πλατείας αὖθις εἰς ὕψος μέγιστον αἴροντος τὸν σταυρὸν πορφυροῦ κίονος, ἐπὶ τῆς αὐλῆς τῶν τοῦ μεγάλου Κωνσταντίνου βασιλείων αὐτοῦ πεξαμένου καὶ ἱδρυμένου, πάντας μὲν ἀνδριάντας, πάσας δὲ στήλας νικῶντος; ἐπεὶ καὶ τῶν γλυπτῶν τύπων ἔργων, ἔχομεν δὲ πολλά, οἷον ἐπὶ τῶν περιγλύφων ἐκείνων κιόνων, ἀκριβῶς εἰς μίμησιν τῶν τῇδε πεποιημένων. ὅμως δὲ ὑπερβαλομένων καὶ τῶν δύο μέσων τούτων τῆς πορφυρίτιδος λίθου πεποιημένων ἀνδριάντων, ἐν θρόνοις ἐπὶ τριόδου καθημένων, οἷς ὄνομά τι κατά τινας ἀγορανομίας καὶ ἀρχὰς ἐπιφημίζεται· καὶ ἄλλου δὲ ἐπὶ τῆς αὐτῆς ὁδοῦ μικρὸν ἐκ λευκοῦ λίθου ἢ μαρμάρου, ὑπὲρ κεφαλῆς τοῦ διὰ τῆς

E πόλεως χειμάρρου, δοκοῦντος εἰς ἀγκῶνα ἀνακεῖσθαι· καὶ ἄλλα δὲ πολλὰ τοιαῦτα, ἃ μὴ ἔτυχον αὐτὸς ἰδών, ἀκήκοα δὲ ἐν τόποις τισὶν ἀποκρύφοις εἶναι. ἐῶ γὰρ τοὺς πρὸ τῆς χρυσῆς πύλης, ἣν καὶ αὐτὴν καὶ τοὺς ἐν αὐτῇ μαρμαρίνους πύργους, τίς ἂν ἀξίως δύναιτο θαυμάσαι, ἄθλους Ἡρακλέους ἀρίστης καὶ θαυμασιωτάτης τέχνης, καὶ Προμηθέως βάσανον, καὶ τοιαῦτα ἕτερα ἀπὸ μαρμάρου. τοῦ

A δὲ μὰ καὶ πλείω τύπον ἔχειν αἴτιον τὸ τὴν πόλιν ἐκείνην τότε γεγενῆσθαι, ὅτι ταῦτα καὶ ἐνταῦθα διὰ τὴν θρησκείαν ἠμελεῖτο. φευγόντων οἶμαι τῶν ἀνθρώπων τὴν τῶν ξοάνων καὶ εἰδώλων ὁμοιότητα. Πῶς γοῦν ἐκεῖνοι ποιεῖν ἔμελλον, ἃ ἐνταῦθα ἤδη πρότερον ὄντα καθῃρεῖτο, ἐποίησαν δὲ καὶ ἐξεῦρον ἄλλα. τὰ διὰ τῶν πινάκων, καὶ εἰκόνων, καὶ γραφῶν, καὶ τὰ διὰ ψηφίδων λέγω, τέχνης ὄντως λαμπροτάτης, καὶ μονιμωτάτης. ἃ καὶ διὰ τῶν ψηφίδων δήπου σπάνια ἐνταῦθα καὶ ἀληθῶς μόνης τῆς Ἑλλάδος, ἢ τῆς πόλεως ἐκείνης. Ἐπεὶ καὶ εἴ τι τοιοῦτον ἐνταῦθα ἢ ἀλλαχοῦ δείκνυται, ἐκεῖθεν τὴν ὕλην ἔσχε καὶ τὴν τέχνην. ὃ νομίζω καὶ ἐπὶ τῆς ἀνδριαντοποιητικῆς συμβῆναι. ἄρξασθαι μὲν γὰρ ἐλθεῖν τὴν ἀρχὴν ἐκεῖ- B θεν, ἐπιδοῦναι δὲ θαυμασίως καὶ ἐνταῦθα. ἴσως δὲ τοῦτο ἂν εἴποι τις καὶ ἐπὶ πολλῶν ἄλλων. Ἀλλὰ ταῦτα μὲν ὅπερ εἶπον ἐῶ. ἐῶ δὲ καὶ τἄλλα, ὅσα τις ἀμύθητα καὶ ἀνυπέρβλητα λέγειν δύναιτο περὶ ἐκείνης. ἀλλὰ ναὸς ἐκεῖνος, ᾧ καλῶς ποιῶν ἐκεῖνος τοὔνομα τῆς τοῦ Θεοῦ σοφίας ἐπεφήμισεν (ἔστι γὰρ ὄντως οὐκ ἀνθρωπίνης σοφίας ἔργον,) τίνα ἰδόντα ἐάσει ἕτερα τῶν λοιπῶν λέγειν, ἢ θαυμάζειν, ἢ ἑτέρων τῶν λοιπῶν μεμνῆσθαι, οἶμαι γὰρ μήτε γενέσθαι, μήτε μὴν γενήσεσθαί ποτε ὅμοιόν τι κατ' ἀνθρώπους. ὅθεν δὲ καὶ ἐγὼ τούτου μνησθεὶς, ἐάσω λοιπὸν πάντα τὸν περὶ τούτων λόγον. οὔτε γὰρ περὶ αὐτοῦ ἐστιν ἄξιόν τι τοῦ πράγματος εἰπεῖν. οὔτε τούτου μνησθέν- C τα ἔξεστιν ὅλως λοιπὸν περὶ οὑτινοσοῦν λέγειν. τοῦτο τι γὰρ κατὰ νοῦν βαλόμενον οὐκ ἔστιν ἕτερον διενοηθῆναι· καὶ περὶ αὐτοῦ δὲ ὡς εἶπον πρὸς ἀξίαν τι λέγειν ὁπωσοῦν ἀμήχανον. καὶ ἀρξάμενον δὲ δεήσει πλείονα περὶ τούτου χρόνον ἢ περὶ τῶν ὑπολοίπων πάντων ἀναλῶσαι, καὶ τέλος μηδὲν ὅμως ἄξιον εἰπεῖν. Ἐγὼ δὲ καὶ σπεύδω ὡς εἶπον ταῦτα διελθεῖν. οὐκ ἔδει πρὸς τῷ τέλει τοῦ λόγου, οὐδ' ἐν παρέργῳ, καὶ οὐκ ἄνευ προνοίας ὥσπερ ἐπὶ τῶν προειρημένων, ἀλλ' εἰ καὶ ἐξ ἀρχῆς εὐθὺς καὶ μετὰ προνοίας, καὶ μηδὲν ἄλλο προσεσχηκότες ἠδυνήθημέν τι τῶν ἐν ἐκείνῳ ἐπιδείξασθαι, εὐχόμενον ἂν σφόδρα ἀγαπῆσαι. Τίνος γὰρ λόγου ὕψος ἢ D μέγεθος ἐξισώσεται τῷ ἐκείνου ὕψει καὶ μεγέθει; ποῖον δὲ κάλλος τῷ κάλλει; ποῖον δὲ λόγου ἀξίωμα τῷ ἀξιώματι ἐκείνου; ποία δὲ ἁπλότης, ἵν' οὕτως εἴπω, τῇ ἁπλότητι; τίς δὲ δεινότης ῥημάτων καὶ ποικιλία παρισώσεται τῇ ἐκείνου ποικιλίᾳ, τίς μὲν λέξεων ἀκρίβεια, τῇ πάντων ὅλων διὰ πάντων ἀκριβείᾳ καὶ ὑπεροχῇ; τίς δὲ συνθήκη τῇ ἐκείνου ἁρμονίᾳ καὶ συνθήκῃ; οὐ καὶ ἕν τι μέρος ἢ μόριον λέγω τὸ σμικρότατον ἀπολαβόντες, οὐκ ἔχοιμεν ἂν εἰπεῖν ἀξίως. οὔτε γὰρ τὰς πύλας μόνον καὶ τὰς ὁδοὺς, οὔτε τοὔδαφος, οὐ τὰ πρόθυρα καὶ τὰ πρὸ τῶν πυλῶν κάλλη, οὐ τοὺς κίονας, οὐ τὰς ψηφίδας, οὐ τὰς τῶν τοίχων E μαρμαρώσεις, οὐ τὴν ὕαλον, οὐ τὸν ἐν αὐτῇ χαλκὸν, οὐ τὸν μόλυβδον, οὐ τὸν σίδηρον, οὐ τὴν σάπφειρον, οὐ τὸν χρυσὸν, οὐ τὴν ὕαλον αὖθις τὴν ἐν ταῖς ψηφῖσιν, οὐκ ἄλλο ὁτιοῦν μέρος ἀκριβῶς δυναίμεθα καταλέξαι. Τί τοίνυν ἄντις περὶ τῶν λίθων καὶ τοῦ ὅλου σχήματος, καὶ τῆς ὅλης οἰκοδομῆς καὶ τοῦ πλά-

A plura istorum operum habeat, ejus hæc est causa, quod tum condita fuerit, cum etiam hic propter religionem illa neglecta jacerent. credo quod hominea statuarum & signorum similitudinem aversarentur. quinam ergo isthic ea tum facturi essent, quæ hic cum jam extarent neglecta jacebant. fecerunt tamen & invenerunt alia: tabulas, inquam, imagines, picturas & tessellatum sive musivum opus, artem revera pulcherrimam & maxime durabilem. Et hic quidem opera illa tessellata admodum rata sunt: quæ profecto solius Græciæ, aut potius illius urbis sunt propria; nam si vel hic vel aliis in locis tale quid visitur, & materiam & artem inde habuit. Quod etiam in re statuaria contigisse existimo; B videlicet eam principio isthic cœpisse & huc pervenisse. attamen & hic admirabile accepisse incrementum. quod fortassis etiam de multis aliis quis affirmare posset. Sed ut cætera quæ sine fabulis & exaggeratione de ista urbe commemorari possent, omittam; templum illud, cui Sophiæ nomen a divina Sapientia conditor imposuit, (nequaquam enim humanæ sapientiæ opus est) ubi quis contemplatus fuerit, quænam alia posthæc commemorare? vel mirari poterit? vel quorum deinceps poterit meminisse? Neque enim post homines natos simile quid fuisse, vel umquam futurum existimo. Unde & ipse postquam ejus memini, omnem deinde orationem de hisce rebus omittam. *Edit. Perif. pag. 123.* C neque enim quidquam pro rei dignitate de illo dici potest. & postquam ejus memineris, nihil amplius alia de re dicere licet. nam ubi hoc animo tecum consideras, ibi nihil aliud cogitari potest. Sed de illo, ut dixi, pro dignitate quidquam dici nequit; & si quis dicere inciperet, plus temporis illi quam cæteris omnibus impendere cogeretur, nec tamen quidquam ut par est diceret. Sed & hoc libenter concedam, neutiquam tamen neque in fine orationis, neque obiter, nec sine certo consilio ut superiora dicendum erat. Verum si nec statim a principio, & certo consilio, neque alteri consilio intenti ullam templi illius partem verbis describere pos- D simus, utique hoc ipsum quam carissimum nobis esse debet. Cujusnam enim orationis sublimitas aut magnitudo illius altitudinem magnitudinemque adæquabit? quæ orationis elegantia illius pulchritudinem? quæ majestas illius majestatem? quæ simplicitas, ut ita dicam, illius simplicitatem? quæ vis & varietas verborum illius varietatem adæquabit? quæ dictionum cura & delectus illius accuratam per omnia perfectionem & excellentiam? quæ orationis structura illius proportionem & structuram? cujus si vel unam partem aut minimam potius particulam sumamus, nequaquam digne describere possumus. neque enim vel solas portas & aditus, non pavimentum, E non vestibula, & portarum ornamenta, non columnas, non vermiculata tessellarum opera, non marmoreas parietum incrustationes, non vitrum, non æs in iis consumtum, non plumbum, non ferrum, non sapphirum, non aurum, neque vitrum in tessellarum commissuria, nullam denique aliam partem accurate describere poterimus. Ecquid igitur de lapidibus, quid de tota figura & structura universa, quid de latitudi-

ne & altitudine, quid de tecti fastigio aliquis dicat? cujus structuram non solum oratione, sed nec visu assequi valemus: quin potius oculis contuentes nobis ipsis persuadere non possumus quomodo subsistat. Nam ut cæli orbem in se ipso converti miramur, ita etiam qua ratione absis illa & contignatio inimitabilis & cælestis principio facta fuerit, & quomodo substiterit, dubitamus. Et quamvis necessum sit ut altitudo quamplurimum de magnitudine aspectus, vel potius de ipsa altitudine subtrahat; attamen quantum cernitur immensum & vastum quid apparet; ita ut non solum tantam molem, talemque structuram aliquis miretur, sed & illos, qui nullo simili exemplo proposito tantum opus animo conceperunt, & mentis conceptum reipsa in opus produci posse existimarunt, & perfecerunt. & hoc quidem absolute de toto opere intelligo, sed præcipue de tholo: quem necessario architectus ille statim ab ipsis fundamentis, vel potius etiam ante jacta fundamenta talem qualis nunc est, animo concepit, & extrui posse confidit. quod nunc dum oculis cernitur fidem excedit. & verosimile est hominem illum arti & proportionibus artificiosis admodum fuisse confisum, tum etiam Geometrica & mechanica scientia fuisse instructissimum. Et quid multis? unum hoc opus sufficit, unde non illius solum & reliquorum architectorum, sed totius humani generis & ingeniosi hujus animantis solertiam & magnificentiam admireris: cui tantum ingenii & tam vastas cogitationes, vel etiam tantum dignitatis & potentiæ, quantum via quisquam ante credidisset, naturæ beneficio suppetit. ita enim existimo, nullum humanæ industriæ opus ad hoc ipsum accedere, multo minus æquare: in quo etiam multa tam naturæ quam ingenii ac sapientiæ miracula apparent. Præstat igitur nos tantum ac tale opus silentio admirari: cum vel ipso aspectu vel etiam sola recordatione mentem vocemque illis, qui vel animo, vel oculis contemplantur, adimere possit: quemadmodum ii excurire solent, qui solem vel aliam rem lucidam intuentur. Quinetiam de reliquiis sanctorum, & rebus sacris illius urbis, quæ quidem plurimæ a principio fuerunt, eo quod summo semper cum studio ab Augustissimis Imperatoribus undiquaque colligerentur; sed plurimis inde tamquam a communi quodam fonte ad alia loca transmissis nihilominus etiam nunc multæ supersunt, neminem omnino ignorare existimo. Cæterum nunc illud de utraque Urbe dicam, si quis antiquorum illorum opera spectet, tam in hac quam in nostra urbe, illum & voluptatem & utilitatem inde percepturum. est enim quod mortalium opera admireris, est vicissim cur contemnas, & pro nihilo habeas: nam si quis ea spectans, Urbis Romæ imperium & potentiam, tum etiam hominum illorum dignitatem, opera ac studia consideret; ac deinde videat, quem finem ista omnia tandem habuerint: ita ut non solum ipsi, verum etiam potentia, & imperium, atque ipsæ civitates propemodum emoriantur; (nam, ut ille ait, etiam civitates moriuntur.) quo tandem loco ille res humanas reputaverit? quomodo ille vel secundis extolletur,

Edit. Paris. pag. 124.

A ἄτως, καὶ τοῦ ὕψους, καὶ τῆς ὀροφῆς λέγοι; ἣν οὐ μόνον ὡς ἔχει λέγειν, ἀλλ' οὐδὲ ὁρᾷν δυνάμεθα. μᾶλλον δὲ ὁρῶντες, ὅπως ἕστηκεν ἀπιστοῦμεν. ὥσπερ γὰρ τὴν οὐρανοῦ σφαῖραν θαυμάζομεν στρέφεσθαι ἐφ' ἑαυτῆς, οὕτω ταύτην τὴν ἀμίμητον καὶ οὐρανίαν ἀψῖδα καὶ ὀροφήν. ὅπως τὴν ἀρχὴν γέγονε καὶ ἕστηκεν ἀποροῦμεν. καίτοι πλεῖστον τοῦ μεγέθους τῆς ὄψεως ἀνάγκη τὸ ὕψος ἀφαιρεῖν· μᾶλλον δὲ καὶ αὐτοῦ τοῦ ὕψους ὅμως ἀμήχανον τὸ τῆς ὑπερβολῆς φαίνεται. ὥστε μὴ μόνον τὸν τοσοῦτον ὄγκον, καὶ τὴν τοιαύτην κατασκευὴν θαυμάζειν, ἀλλὰ καὶ τοὺς τοσοῦτον ἔργον, ἀπ' οὐδενὸς ὁμοίου παραδείγματος εἰς νοῦν βαλλομένους,
B καὶ ἐννοηθέντας, καὶ νομίσαντας δυνατὸν εἶναι ἀληθῶς εἰς ἔργον προελθεῖν, καὶ ἐκπραξαμένους. ὃ φημὶ μὲν περὶ τοῦ ὅλου ἁπλῶς ἔργου, μάλιστα δὲ φημὶ περὶ τῆς ὀροφῆς, ἣν ἀνάγκη τὸν ἀρχιτέκτονα ἐκεῖνον εὐθὺς ἀπὸ τῶν θεμελίων, μᾶλλον δὲ καὶ πρὸ τῆς τῶν θεμελίων αὐτῶν καταβολῆς, ὡς νῦν ἔχει ἐννοηθῆναι, καὶ θαρρῆσαι συστῆναι δύνασθαι. Ὃ νῦν ὁρώμενον ἀπιστεῖται. σφόδρα ἐκεῖνον εἰκὸς τῇ τέχνῃ, καὶ ταῖς ἀναλογίαις ταῖς κατ' αὐτὴν πιστεῦσαι. σφόδρα δὲ εἶναι γεωμετρικὸν ἢ μηχανικόν. Καίτοι τί λέγω; ἐκεῖνο γὰρ τὸ ἔργον οὐ τὴν ἐκείνου μόνον, καὶ τῶν ἄλλων δειμαμένων, ἀλλὰ καὶ τὴν τοῦ ἀνθρωπίνου γένους, καὶ τὴν τῶν
C ζώων τούτων ἁπλῶς ἀγχίνοιαν, καὶ μεγαλουργίαν τοὺς ὁρῶντας δύναται ποιεῖν θαυμάζειν. ὅτι τοσοῦτον αὐτῶν φύσει, ὅπερ οὐκ ἄν τις πρότερον ᾠήθη, ἐπινοίας, καὶ μεγαλονοίας, ἢ ἀξίας καὶ δυνάμεως περίεστιν. οἶμαι γὰρ οὐδὲν τῶν χειροκμήτων τούτων ἔργων παρ' ἀνθρώποις ὅμοιον οὐδ' ἐγγὺς γενέσθαι. πολλὰ δὲ καὶ τῆς φύσεως, καὶ τῆς διανοητικῆς σοφίας ἐν αὐτῷ δείκνυται θαυμάσια. τοῦτο τοίνυν τὸ τοσοῦτον καὶ τοιοῦτον ἔργον, βέλτιον σιωπῇ θαυμάζειν. ἐπεὶ καὶ ἀπὸ τῆς ὄψεως, ἢ τῆς μνήμης μόνης ἀνόους καὶ ἀφώνους τοὺς ἐνθυμουμένους καὶ ὁρῶντας ποιεῖν δύναται. ὥσπερ ἀβλε-
D πτεῖν συμβαίνει τοὺς πρὸς τὸν ἥλιον, ἢ πρός τι τῶν λαμπρῶν ὁρῶντας.

Καὶ περὶ τῶν ἐκεῖσε δὲ τῇ πόλει λειψάνων ἁγίων καὶ ἁγιασμάτων, ἃ πλεῖστα μὲν ἐξ ἀρχῆς γέγονε, σπουδῇ πανταχόθεν τῶν κατὰ καιροὺς ἀοιδίμων βασιλέων ταῦτα συλλεξαμένων, πλείστων δὲ αὖθις ἐκεῖθεν, ὥσπερ ἀπὸ κοινῆς πηγῆς τινος, πανταχόσε ἐκδοθέντων, πολλὰ ἔτι καὶ νῦν μεμένηκεν, οὐδεὶς ἄλλως οἶμαι ἀγνοεῖ. ἀλλ' ἐκεῖνο λοιπὸν ἂν εἴποιμι περὶ ἀμφοτέρων, ὅτι παρὰ τῆς πόλεως ταύτης, ὥσπερ καὶ παρὰ τῆς ἡμετέρας, ἔστι μὲν τέρψιν σκοποῦντα τὰ τῶν παλαιῶν ἐκείνων, ἔστι δὲ καὶ ὠφέλειαν κομίσασθαι.
E καὶ ἔστι μὲν θαυμάσαι τὰ τῶν ἀνθρώπων ἔργα, ἔστι δὲ αὖ καὶ καταφρονῆσαι τούτων, καὶ τὸ μηδὲν αὐτὰ λογίσασθαι. εἰ γάρ τις ταῦτα ὁρῶν ἐνθυμηθείη τὴν ἡγεμονίαν τῆς Ῥώμης, καὶ τὴν δύναμιν, καὶ τὴν ἀξίαν τῶν ἀνδρῶν ἐκείνων, καὶ τὰ ἔργα, καὶ τὰς σπουδάς. εἶτα ὁρῴη ταῦτα πάντα εἰς ἃ τετελευτήκασιν, ὥστε οὐ μόνον αὐτούς, ἀλλὰ καὶ τὴν δυναστείαν, καὶ ἡγεμονίαν, καὶ τὰς πόλεις αὐτὰς σχεδὸν ἀποθανεῖν. θνήσκουσι γὰρ ὥς που λέγει τίς, καὶ πόλεις· τί λοιπὸν ἂν λογίσαιτο τὰ τῶν ἀνθρώπων; πῶς δ' ἂν εὐτυχῶν ἐπαρθείη, ἢ δυστυχῶν ταπεινωθείη; ἢ τίνι δ' ἂν μέγα φρο-

A νήσαιτο, τί δ' ἂν τῶν ἀνθρωπίνων ὅλως περὶ πολλοῦ ποιήσαιτο; πολλάκις τοὺς θριαμβικοὺς δρόμους τούτους ἐπιὼν, ἐννοοῦμαι μὲν τοὺς διὰ τούτων ἠγμένους ἄρχοντας ἢ δυνάστας, καὶ τοὺς ἄλλους αἰχμαλώτους, πολλάκις ἀπὸ Ἀρμενίων, ἢ Περσῶν, ἢ τινῶν ἄλλων σφόδρα ἀφεστηκότων. ἐνθυμοῦμαι δὲ τοὺς θριαμβεύοντας ἐπὶ τούτοις στρατηγοὺς, καὶ τίνα μὲν καρδίαν εἶχον οὗτοι, καὶ ἡδονήν. τίνα δὲ ψυχὴν ἐκεῖνοι. ἐνθυμοῦμαι δὲ τὸ περιεστὸς, καὶ περικεχυμένον τούτοις τῆς πόλεως πλῆθος, καὶ τοὺς θεωμένους ἄνωθεν ἀπὸ τῶν οἰκιῶν, καὶ τὴν τῶν ὀργάνων συμφωνίαν, καὶ τὸν θροῦν, καὶ τὰς εὐφημίας, καὶ τοὺς κρότους. καὶ τὴν τούτων μὲν ἐπὶ τῇ νίκῃ, καὶ οὕτως ὑπερορίῳ ἡδονὴν, B ἐκείνων δὲ καὶ τῶν οἰκείων αὐτῶν οἴκοι, τὴν ἐπὶ τῇ ἥττῃ καὶ τῇ τοιαύτῃ πομπῇ λύπην, καὶ τὴν νομιζομένην ἐν τούτοις τότε διαφοράν. καὶ ὅπως οὗτοι μὲν τρισάθλιοι καὶ κακοδαίμονες, ἐκεῖνοι δὲ εὐδαίμονες, καὶ μακάριοι τοῖς ἄλλοις, καὶ ἑαυτοῖς ἐδόκουν. νῦν δὲ πάντα ἐκεῖνα ἐν ἰσότητι, πάντα δὲ ἐν κόνει· καὶ οὐ μᾶλλον ἂν γνοίης τὴν τοῦ Πομπηΐου, ἢ Λευκόλλου, ἢ τὴν Μιθριδάτου, ἢ Τιγράνου τύχην. καὶ αὐταὶ δὲ αἱ οἰκίαι, καὶ αἱ στῆλαι, καὶ αἱ οἰκοδομαὶ ἐν κόνει παρὰ τοσοῦτον ὑπερέχουσαι, παρόσον ἡ δεξαμένη ταῦτα γῆ οὐκ ἰσόπεδος ἀλλ' ἀνεστηκυῖα. καὶ πολλοὺς τῶν ἀνδριάντων, τῶν εὐδαιμόνων ἐκείνων, καὶ μακαρίων νικητῶν αὐτοῖς τροπαίοις, καὶ στεφάνοις ἐστὶν ἰ- C δεῖν ἐν βορβόρῳ, καὶ πηλῷ καλινδουμένους, καὶ ἐρριμμένους· ἄλλους δὲ ἠκρωτηριασμένους καὶ διεσπαρμένους· οὐκ ὀλίγους δὲ τιτάνου, ἢ κονίαν, ἢ τῶν οἰκοδομιῶν ἄλλους λίθους γενομένους. ὅσοι δὲ βελτίονος τύχης ἔτυχον, τὴν κατὰ Ἀριστοτέλην πρωτάρχειον τῶν λίθων ἀτυχίαν ἀποβαλόντες, ἵππων ἐπίβαθρον πρὸς ἀνάβασιν, ἢ κρηπῖδα τοίχου, ἢ ὄνου φάτνην, ἢ βοὸς πληροῦντας, ἐσπασμένους, ὅπερ εἶπον, τοὺς πολλοὺς καὶ διερρηγμένους· τινὰς δὲ ἄκανθαι καὶ ῥάμνοι τινὲς, ἢ θάμνοι ἀναχυθεῖσαι καὶ περιχυθεῖσαι οὐκ ἐῶσι φαίνεσθαι. μυρίοι δὲ εἰσὶν ὑπὸ γῆς, πρὶν ἐπὶ λαμπροῦ καὶ μετεώρου, ὥστε τοῖς πολλοῖς φαίνεσθαι, ἐν Καπιτωλείῳ, ἢ ἐν ἀκροπόλει, ἢ ἐν ἀγορᾷ σταθεῖσαι καὶ ἐδόκουν D οἱ τυχόντες τούτου, εἴτε τοῦ πράγματος, εἴτε τοῦ πρεσβείου λέγω, μεγάλου εὐμοιρῆσαι. ἴσμεν δὲ οἷα περὶ τῶν νικώντων ἐν Ἰσθμῷ, ἢ ἐν Νεμέᾳ, ἢ Ὀλυμπίᾳ φησὶ Πίνδαρος ἐν ταῖς ᾠδαῖς, ἰσοθέους αὐτοὺς ποιῶν, καὶ μακαρίζων, καὶ ταῦτα μετὰ τοσούτους πόνους σελίνῳ, ἢ δρυῒ, ἢ κοτίνῳ στεφανουμένους. ἀλλ' οὐ τοιαῦτα τὰ τῶν ἐπὶ στηλῶν, ὥστε εἴτε ἐν πόλεσιν, εἴτε ἐν ἀνδράσιν, εἴτε ἐν ἄρχουσιν, εἴτε ἐν ἰδιώταις, εἴτε ἐν βασιλεῦσιν αὐτοῖς, ὅτε μὴ ἀρετῆς καὶ ταύτης ἀληθοῦς καὶ θείας ἔχεται, ἀληθῶς μάταια τὰ τῶν ἀνθρώπων. τούτων τὰ μὲν τέρπει, τὰ δὲ παραμυθεῖται, οὐκ ὀλίγα δὲ καὶ E ἀνιᾷ. Δοκῶ δ' ὅπως ἐπὶ τῆς πατρίδος εἶναι, καὶ ἵνα τὸ δοκεῖν τοῦτο πλέον γίνηται, ὅπερ ἐμοὶ μέγιστον καὶ ἥδιστον ἐν ἐκείνῃ, τὴν σὴν ὄψιν προσορῶν, καί σοι προσλαλεῖν διὰ τῆς σῆς μνήμης, καὶ τῶν πρὸς σὲ γραμμάτων, καὶ τῶν περὶ σοῦ πρὸς ἄλλους λόγων, ὡς οἷόν τε μηχανῶμαι. ὅθεν ἄλλοις τε πολλοῖς καὶ συνεχῶς, καὶ τούτοις ὡς ὁρᾷς μακροῖς πρὸς τὸ σὸν

A vel deprimetur adversis? aut qua re magnopere gloriabitur? vel quid tandem ex rebus humanis magni faciet? Sæpius ego dum triumphales hasce vias transeo, reges ac principes cæterosque ex Armenia aut Perside, vel ex aliis remotissimis regionibus captivos isthac deductos animo recordor. Cogito etiam belli duces de ipsis triumphantes, & quis animus iis fuerit, quam voluptatem perceperint: econtra quo animo fuerint isti. Cogito adstantem & circumfusam illius urbis multitudinem, & desuper ex ædibus spectantium turbam: ad hæc concentus instrumentorum, fremitum, acclamationes & plausus. & horum quidem de victoria in tam longinquis regionibus parta voluptatem: con- B tra vero illorum atque amicorum in patria de clade ac tali spectaculo dolorem, & diversam, ut tum credebatur utriusque partis conditionem: atque ut hi miserrimi & infelices; illi felices & beati tam aliis quam sibimetipsis videbantur. Verum nunc omnia ista paria; omnia in pulverem redacta: neque magis Pompeii & Luculli, quam Mithtidatis, aut Tigranis fortunam noveris. quinetiam domus ipsæ, & statuæ, atque ædificia in pulverem redacta: quæ in tantum adhuc supereminent, in quantum tellus, qua ohruta teguntur, non ubique æqualis est, sed in tumulum attollitur. multas quoque statuas horum felicium ac beatorum victorum una cum C trophæis ac laureis in cœno & luto dejectas ac provolutas cernere licet, alias compactas ac divulsas, non paucas calcis operisve tectorii, vel etiam lapidum vicem aliorum ædificationibus nunc præstare videas. ut queis melior sors obtigit, illæ deperdita primogenia, ut Aristoteles vocat, lapidum forma, equum conscensuris gradum seu scabellum, vel muri crepidinem, vel asini aut bovis præsepe efficiunt; disjectæ plerumque, ut dixi, & confractæ. alias spinæ & sentes, vel arbusta undique enascentia oculis subducunt. Infinitæ terra sepultæ latent, quæ ante in illustri & edito loco, ut omnibus conspicuæ essent, in Capitolio sive arce, vel in foro positæ fue- D rant. & qui hoc obtinuerunt, veluti rem seu prærogativam maximam adepti, se egregie res suas stabilivisse existimabant. Neque ignoramus quantopere Pindarus in suis odis eos extollat, qui Isthmia, vel Nemea, vel Olympia vicerant, quos ille Diis pares & beatos prędicat: scilicet quod post tot & tantos labores apio, vel querna fronde, vel oleastro coronari meruissent. Sed honores statuarum nequaquam cum hisce comparari possunt. adeo profecto ut quæcumque civitates aut homines, sive principes, sive privati, vel etiam reges ipsi veram & divinam virtutem non amplectuntur, apud eos revera vana sint o- E mnia humana. quorum alia nhlectamentum, alia solatium; non pauca dolorem afferunt. Verum ego mihi in patria esse videor. atque ut eo magis mea opinione fruar, illud quod in patria summum & jucundissimum habeo, tuum scilicet aspectum & alloquium, quacumque ratione possum crebra tui recordatione & litteris ad te scriptis atque aliorum de te colloquiis mihi ipsi comparo. idemque cum alias multis ac crebris litteris, tum hisce, ut vides, longissimis Celsitudi-

Edit. Paris. pag. 246.

nem tuam ſum allocutus. Ego vero ſic ſentio, eos qui pro patria laborem ſuſtinent, ſive ipſi negotia gerant, ſive adverſa patiantur, præmium æternum reportaturos. Hujus præmii memineris, o Imperator, & tu cum tuis urbem omnium ſub ſole præſtantiſſimam ſervate, & ad felicitatem conducite. Nos quoque negotiorum & laborum pro patria ſocii & coadjutores erimus: ita ut clementiſſimorum atque optimorum Principum ſubditos ubicumque poſſunt optima voluntate eſſe convenit. Ea enim mihi tam præſenti quam abſenti, tam videnti quam audienti, tam vivo quam mortuo ſumma voluptas erit. At tu, optime Imperator, nunc orationis prolixitati ignoſce. Vale.

A ὕψος διελέχθην. νομίζω δὲ ἀεὶ καὶ τοὺς ὑπὲρ πατρίδος εἰργασμένους οὐ μόνον πράξαντας, ἀλλὰ παθόντας ὁτιοῦν ἀμοιβὴν αἰωνίαν ἔχειν. ταύτης μοι τῆς ἀμοιβῆς μεμνῆσθαι, Βασιλεῦ. καὶ εἴη σε αὐτός τε καὶ οἱ σοὶ τὴν ὑφ' ἡλίῳ ἀρίστην γενομένην πόλιν σώζοντές τε καὶ πρὸς εὐδαιμονίαν ἐπανάγοντες. συμπράττοιμεν δὲ καὶ ἡμεῖς ὑμῖν ἐν ταῖς ὑπὲρ αὐτῆς πράξεσι καὶ πόνοις, οἷα εἰκὸς Δεσπόταις φιλανθρώποις καὶ ἀγαθοῖς ὑπηκόους εἶναι τὰ δυνατά. Ταῦτα γὰρ ἐμοὶ παρόντι τε, καὶ ἀπόντι, καὶ ὁρῶντι, καὶ ἀκούοντι, καὶ ζῶντι, καὶ ἀποιχομένῳ ἔσται ἡδονή. Τὰ νῦν δὲ ἀνάσχου μοι τῆς πολυλογίας, Βασιλεῦ. ἔρρωσο.

F I N I S.

ΜΑΝΟΥΗΛ ΧΡΥΣΟΛΩΡΑΣ,

ΙΩΑΝΝΗ ΧΡΥΣΟΛΩΡΑ

ΧΑΙΡΕΙΝ

ΕΜΟΙ τε ἡδίων ἔμελλεν ἡ Ῥώμη φαίνεσθαι, γράμματα ἐν ταύτῃ συχνὰ τῶν οἰκείων, Edit. Paris. καὶ σοῦ μάλιστα δεχομένῳ· ὑμῖν τε νομίζω καθ᾽ ἡδονὴν ἔσεσθαι, γράμματα ἐμὰ ἐν- pag. 127. τεῦθεν κομιζομένοις. πρῶτον μὲν γὰρ καὶ μόνον αὐτὸ τῆς πόλεως τοὔνομα, ὅπερ ἡμῖν πρότερον συνέβαινε, πᾶσιν οἶμαι τοῖς ἀκούουσιν ἡδονὴν φέρει. ἔπειτα ἐμὲ μὲν τῆς πατρίδος ἀποδημοῦντα, ἐν ἄλλῃ, καὶ αὐτῇ πατρίδι, καὶ ὁμωνύμῳ, διὰ γραμμάτων, ἃ μόνον ἔξεστι, συγγίνεσθαι τοῖς οἰκείοις· ὑμᾶς δὲ πολίτην καὶ οἰκεῖον ἀφεστηκότος, ἐξ αὐτῆς τῆς μητροπόλεως ἐπιστολὰς λαμβάνειν, πῶς οὐκ ἂν δικαίως τέρπειν. Ἐγὼ γέ τοι ταύτην ἀσπάζομαι πολλάκις, καὶ νῦν μὲν τοῦτο ὁρῶν αὐτῆς, νῦν δὲ ἐκεῖνο νομίζω ἐπὶ τῆς ἡμετέρας εἶναι. καί ποτε λανθάνω ἐμαυτὸν τοσοῦτον αὐτῆς πόρρω διατρίβων. ὅταν γε μὴν ἐπί τινος ὑψηλοῦ γενόμενος, ἀκούσῃς δὲ τοὺς ἐν αὐτῇ λόφους, ὅθεν καὶ τῇ ἡμετέρᾳ κατὰ μίμησιν ἑπτάλοφον καλεῖσθαι συμβέβηκε, πρὸς ὅλην αὐτὴν ἀπίδω οὐκέτι οἴομαι ἐν Ἰταλίᾳ ἢ Λατίῳ· ἀλλ᾽ ἐπὶ τῆς ἐγγεγραμμένης αὐτῆς εἶναι. καὶ ζητῶ τὴν ἡμετέραν οἰκίαν ἐν ᾧ μέρει τῆς πόλεως ἐστί· καὶ τὸν ἐν αὐτῇ κρεμαστὸν κῆπον, καὶ εἴτε ἕτερον ἐκείνης γνώρισμα, καὶ τοὺς ἡμετέρους συντρέχοντας. καὶ ὃ πάλαι ἦκουον πρὸς παράδειγμα ταύτης, ἐκείνην τὴν ἀρχὴν γενέσθαι, νῦν ἀκριβῶς ὁρῶ. τί γὰρ τῶν ἐν ταύτῃ, εἰπεῖν, ὃ μὴ καὶ παρ᾽ ἡμῖν γέγονεν; οὐ ναοί, οὐ στοαί; οὐχ ἱππόδρομοι; οὐ βασίλεια; οὐ θέατρα; καὶ ἐν αὐτοῖς δὲ τόποις, οὐ λίθοι καὶ κίονες περιφανεῖς, ἀπιστούμενοι, ὅπως μὲν τὴν ἀρχὴν ἐκ τῶν λατομιῶν ἐτμήθησαν, ὅπως δὲ ἐκομί- pag. 128. σθησαν, ὅπως δὲ ἠγέρθησαν; οὐ μαρμάρων παντοῖα γένη, κάτοπτρα ὑπὲρ πᾶσαν ὕλην δυναμένων εἶναι; οὐκ εἰκόνες, οὐ στῆλαι, οὐκ ἀνδριάντες; οὐκ ὀβελίσκοι; ἐν ᾧ δὲ αὕτη τῷ πλήθει τῶν ἀπὸ λίθων ἀνδριάντων λέγω, καὶ τῇ περὶ τούτους τέχνῃ, καὶ τοῖς τῶν παλαιῶν τάφοις, καὶ τῆς ἡμετέρας δοκεῖ πλεονεκτεῖν. ἀντιλαβοῦσα μὲν τὴν ἀπὸ τῶν ψηφίδων ἐν τοῖς τοίχοις τέχνην, καὶ τὴν ἀπὸ τύπων ὥραν. ὅπερ, ὥσπερ παρ᾽ ἡμῖν τὸ τῶν λιθίνων ἀγαλμάτων καὶ τῶν περιγλύφων θηκῶν, σπάνιον ἐν τούτοις, καὶ αὐτῶν δὲ τύπων τῶν ἀγαλμάτων, καὶ τῶν θηκῶν πλεῖστα ἀπὸ τῆς Ἑλλάδος, Φειδίου καὶ Πραξιτέλους, καὶ τῶν ὁμοίων ἔργα, ὡς ἔστιν ἀκριβῶς ἰδεῖν ἀπὸ τῶν ἐγκεκολαμμένων ἐν αὐτοῖς γραμμάτων, τὸν τεχνίτην ἐπιβοωμένων· ὥστε πολλάκις ταῦτα ὁρῶν ἐνεθυμήθην ἐκεῖνο τὸ τοῦ Συνεσίου. ἐν τῷ πρὸς τὸν ἀδελφὸν οἶμαι ἐκεῖνος, οὐ γὰρ καλῶς μέμνημαι ἀπὸ τῆς Ἑλλάδος γράφων, καὶ περὶ τῆς εἰς Ἀθήνας ἀποδημίας διηγούμενος, φησὶ μετὰ πολλά· * εἶδον λύχνον· εἶδον στοὰν· εἶδον ποικίλην, τὴν ἐκεῖ τ᾽ οὖσαν ποικίλην. ὁ γὰρ ἀνθύπατος τὰς σανίδας ἀφείλετο· καὶ πολλὰ καὶ αὐτὸς εἶδον ἐνταῦθα ἐπὶ μαρμάρων, γράμματα Ἑλληνικὰ τῷ ἀρχαίῳ τύπῳ. ἃ πᾶς τις ἂν βεβαίως ἀπὸ τῶν γραφομένων εἴποι, ἐξ Ἀθηνῶν αὐτῶν καὶ τῆς ἄλλης Ἑλλάδος δεῦρο κεκομίσθαι. καὶ ἄλλα δὲ μυρία εὑρίσκω ἐνταῦθα Ἑλληνικῶς γραφέντα καὶ τυπωθέντα. οἷον ἐφ᾽ ἑνὸς τάφου μετὰ πολλὰ Λατινικῶς τετυπωμένα, ἔτι προσκείμενον Ἑλληνιστὶ τουτὶ τὸ ἔπος. εὐψύχει Πετρωνιανέ, οὐδεὶς ἀθάνατος. καὶ γυναικῶν δὲ παλαιῶν μέχρι καὶ ἀπελευθέρων τάφους. καὶ λιθοξόων δὲ τῇ τέχνῃ σεμνυνομένων, ἐπὶ τῶν μνημάτων αὐτῶν ὀνόματα γράμμασιν Ἑλληνικοῖς ἐγκεχαραγμένα. ὧν λέγειν εἰς τὸ παρὸν πολλά, μὴ γελοῖον ᾖ. ὅθεν φαίνεται· ὃ καὶ παρὰ τῶν ἱστορικῶν ἀκούομεν, τὴν πόλιν ταύτην τὸ ἀρχαῖον, οὐκ ἔλαττον παρ᾽ Ἑλλήνων ἢ παρ᾽ Ἰταλῶν οἰκεῖσθαι. μᾶλλον δὲ καὶ αὐτοὺς τοὺς Ἰταλοὺς τῷ πλείστῳ μέρει Ἑλληνικῶς εἰδέναι φθέγγεσθαι· καὶ τῶν ἀπὸ τῆς Ἑλλάδος πολλοὺς ταύτην εἰρημένους οἰκεῖν, συνεστάναι δύνασθαι λαλεῖν ἐκείνοις. Νῦν δὲ ὅτε ἴδοι, καὶ ἀναγκαῖον ἦν μάλιστα ἑνοῦσθαι, τί διΐστησι τῷ γένει; τί καὶ μετὰ τὴν ἐπιγενομένην οὐ τῶν ἠθῶν μόνον, ἀλλὰ καὶ τῶν ψυχῶν, καὶ τῶν δοξῶν ὁμόνοιαν, τοιούτων συναγόντων αὐτάς. εἰ δὲ βούλει τοσούτου πράγματος τῆς εἰς Θεὸν πίστεως αὐτὰς συνάπτοντος ἀγνοεῖν ἔπεισεν ἀλλήλους. καὶ τοῦτο δὲ αὐτὸ τοὺς πλείστους ἀγνοεῖν αὐτῶν, ὅτι ἥνωνται ἐν τοῖς μεγίστοις. ὄντως ἄξιον συνάξαι. ἀλλὰ περὶ τούτων μέν, αὐτοῦ παρόντος καιροῦ λέγειν. ὃ δὲ ἔλεγον. ἐμοί τε γλυκίων ἡ Ῥώμη πάντως φανήσεται, συχνὰ παρ᾽ ὑμῶν γράμματα δεχομένῳ· καὶ ὑμῖν ἡδονὴν ἕξει, ἐνθένδε ἐμοῦ ἀκούουσι διαλεγομένου. τὸ μὲν οὖν ἐμὸν αὐτὸς ἤδη ποιῶ. καὶ πεποίηκα δὲ ἐξότε δεῦρο ἀφῖγμαι, διὰ πολλῶν. ἐκδέχομαι δὲ καὶ τὰ παρ᾽ ὑμῶν ἤδη διὰ πολλῶν. ὑγίαινε.

* εἶδον τὸ λύχνον, εἶδον τὴν στοὰν ποικίλην, ἣ νῦν ἐκεῖτ᾽ οὖσα ποικίλη. Syn. epist. 135.

Μανουὴλ Χρυσολωρᾶς, Δημητρίῳ Χρυσολωρᾷ ἀνδρῶν ἀρίστῳ, καὶ περιφανεστάτῳ, χαίρειν.

Edit. Paris. pag. 129. Ἆρα δύναται πιστωθῆναι περὶ ἐμοῦ, ὡς ἐγὼ τὴν πόλιν ταύτην περιιὼν, κατὰ τοὺς ἐρωτολήπτους τόπους καὶ κωμαστὰς τοὺς ὀφθαλμοὺς ὧδε κἀκεῖσε περιφέρω, καὶ τοὺς τῶν οἰκιῶν τοίχους εἰς ὕψος, καὶ τὰς ἐν αὐταῖς θυρίδας περιεργάζομαι, εἴ τι που τῶν καλῶν ἴδοιμι παρ' ἐκείναις; τοῦτο γὰρ νέος μὲν ὢν ὡς οἶσθα οὐκ ἐποίουν. καὶ τοῖς ποιοῦσιν ἐμεμφόμην. νυνὶ δὲ ἀμογέρων ἤδη γενόμενος, οὐκ οἶδ' ὅπως εἰς τοῦτο ἐξενεχθείην. αἴνιγμά σοι δοκῶ λέγειν. ἄκουε δὲ τὴν λύσιν τοῦ αἰνίγματος καὶ τῆς ἀπορίας. Ἐγὼ γὰρ οὐ ζώντων σωμάτων κάλλη ἐν ἐκείναις ζητῶν τοῦτο ποιῶ. ἀλλὰ λίθων, καὶ μαρμάρων, καὶ ὁμοιωμάτων. φαίης ἂν ἴσως τοῦτο εἶναι ἀτοπώτερον ἐκείνου. καὶ ἐμὲ δὲ πολλάκις τοῦτο λογίσασθαι ἐπῆλθε· τί δήποτε ἵππον μὲν ἢ κύνα ἢ λέοντα καθημέραν ζῶντα ὁρῶντες, οὐ πρὸς θαῦμα ἐγειρόμεθα, οὐ δὲ τοσοῦτον αὐτὰ ἀγάμεθα τοῦ κάλλους. οὔτε μὴν τὴν ὄψιν αὐτῶν περὶ πολλοῦ ποιούμεθα, οὐ δὲ δένδρον, ἢ ἰχθὺν, ἢ ἀλεκτρυόνα. ταυτὸ δὲ καὶ ἐπ' ἀνθρώπων. τινὰ δὲ αὐτῶν καὶ μυσαττόμεθα, ἵππου δὲ εἰκόνα ὁρῶντες ἢ βοὸς, ἢ φυτοῦ τινὸς, ἢ ὄρνιθος, ἢ ἀνθρώπου. εἰ δὲ βούλει μυίας, ἢ σκώληκος, ἢ ἐμπίδος, ἢ τινὸς τῶν αἰσχρῶν τούτων, σφόδρα διατιθέμεθα, καὶ ὁρῶντες τούτων τὰς εἰκόνας περὶ πολλοῦ ποιούμεθα. καίτοι οὐ ταῦτα δήπου ἀκριβέστερα ἐκείνων, ἀλλὰ παρὰ τοσοῦτον ἐπαινοῦνται, παρ' ὅσον ὁμοιότερα ἐκείνοις φαίνονται. ἀλλ' ὅμως ταῦτα μὲν καὶ τὰ τούτων κάλλη παρατρέχομεν παρόντα, ταῖς δὲ ἐκείνων εἰκόσιν ἐκπληττόμεθα· καὶ τὸ μὲν τοῦ ζῶντος ὄρνιθος ῥύγχος ὅπως ἀφυῶς κέκαμπται, ἢ τὴν ὁπλὴν τοῦ ζῶντος ἵππου οὐ πολυπραγμονοῦμεν. τὴν δὲ χαίτην τοῦ χαλκοῦ λέοντος, εἰ καλῶς ἔπλασται, ἢ τὰ φύλλα τοῦ λιθίνου δένδρου, εἰ τὰς ἶνας παρεμφαίνει, ἢ τὴν τοῦ ἀνδριάντος κνήμην, εἰ τὰ νεῦρα καὶ τὰς φλέβας ὑποδείκνυσιν ἐπὶ τοῦ λίθου. τοῦτο τοὺς ἀνθρώπους τέρπει· καὶ πολλοὶ πολλοὺς ἂν ἵππους ζῶντας καὶ ἀκεραίους ἀσμένως ἔδωκαν, ὥστε ἕνα λίθινον τὸν Φειδίου ἢ τὸν Πραξιτέλους. καὶ τοῦτον εἰ τύχοι διερρωγότα καὶ λελωβημένον ἔχειν. καὶ τὰ μὲν τῶν ἀγαλμάτων καὶ ζωγραφιῶν κάλλη οὐκ αἰσχρὸν θεᾶσθαι. μᾶλλον δὲ καὶ εὐγένειάν τινα τῆς θαυμαζούσης ταῦτα διανοίας ὑποφαίνει. τὰ δὲ τῶν γυναικῶν κάλλη ἀκόλαστον καὶ αἰσχρόν· Τί δὴ τοῦτο τὸ αἴτιον; ὅτι οὐ σωμάτων κάλλη θαυμάζομεν ἐν τούτοις, ἀλλὰ νοῦ κάλλος τοῦ πεποιηκότος. ὅτι καθάπερ κηρὸς καλῶς διαπλασθεὶς ὃν ἔλαβε διὰ τῶν ὀμμάτων ἐπὶ τοῦ φανταστικοῦ τῆς ψυχῆς τύπον ἀποδέδωκεν ἐπὶ τοῦ λίθου, ἢ τοῦ ξύλου, ἢ τοῦ χαλκοῦ, ἢ τῶν χρωμάτων· καὶ ὥσπερ ἡ ἑκάστου ψυχὴ τὸ αὐτῆς σῶμα οὐκ ὀλίγας μαλακότητας ἔχον διατίθησιν, ὥστε τὴν αὐτῆς διάθεσιν, λύπην, ἢ χαρὰν, ἢ θυμὸν ἐν αὐτῷ ὁρᾶσθαι, οὕτω τὴν τοῦ λίθου φύσιν οὕτως ἀντίτυπον καὶ σκληρὰν, ἢ τοῦ χαλκοῦ, ἢ τῶν χρωμάτων τὴν τῶν ἀλλοτρίων τε, καὶ ἔξω διὰ τῆς ὁμοιότητος καὶ τέχνης διατίθησιν. ὥστε ἐν τούτοις τὰ πάθη τῆς ψυχῆς ὁρᾶσθαι. καὶ ὁ πλέον οὐ γελῶν αὐτὸς, ἀλλ' οὐ δὲ χαίρων ὅλως ἴσως, οὐ δὲ ὀργι-
pag. 130. ζόμενος, οὐ δὲ πενθῶν, οὐ δὲ διατιθέμενος, ἢ καὶ κατὰ τὰ ἐναντία τούτοις διατιθέμενος, ταῦτα ἐν ταῖς ὕλαις ἀπομάττει. Τοῦτο ἐστι τοίνυν, ὅπερ ἀγάμεθα ἐν τούτοις. ἐπεὶ καὶ ἐν ἐκείνοις τοῖς φυσικοῖς λέγω, εἶτις ὁ διαπλάσαντα, καὶ καθημέραν διαπλάττοντα, καὶ αὐτὰ δὲ τὰ τῶν πραγμάτων εἴδη παραγαγόντα νοῦ, καὶ τὸ ἐκείνου κάλλος, ὅθεν τὰ τοιαῦτα κάλλη προήχθη θεωρεῖ εἰς ὑπερβολὴν ἄγαται. καὶ τοῦτο ἀληθῶς ἐστὶ τὸ φιλοσοφεῖν. καὶ ἡ τοιαύτη θεωρία, καὶ ὁ τοιοῦτος ἔρως πρὸς τὸ σεμνὸς καὶ σώφρων εἶναι, ἐπέκεινα ἐστὶ πάσης ἡδονῆς. ἀναγκαζόμεθα δὲ ἀπὸ τῆς τούτων ὄψεως· καὶ ὥσπερ τῶν ὁμοιωμάτων τούτων, οὕτω πολλῷ μᾶλλον τῶν φυσικῶν. οὕτω καλῶν καὶ κατὰ λόγον ὄντων, νοῦν ἀποδιδόναι δημιουργόν. καὶ εἰ ἐν τούτοις ἡ εὐγένεια τοῦ πεποιηκότος αὐτὰ φαίνεται, καὶ ταῦτα ἀλλοτρίοις παραδείγμασι, καὶ ἀλλοτρίᾳ, καὶ προϋπαρχούσῃ ὕλῃ κεχρημένου, πόσῳ μᾶλλον ἡ εὐγένεια τοῦ νοῦ ἐκείνου διαδείκνυται. οὐ καὶ αὐτὴν τὴν ὕλην καὶ τὰ εἴδη παράγοντος. καὶ αὐτὸν δὲ τὸν ἡμέτερον νοῦν, ὥστε τὰ τῶν πραγμάτων εἴδη ἀπομάττεσθαι, καὶ τὰ τοιαῦτα ποιεῖν ἔξω δύνασθαι πεποιηκότος. Ἀλλὰ ταῦτα τί ἂν πρὸς σὲ λέγοιμι, βέλτιον ἐμοῦ εἰδότα; ὃ δὲ ἔλεγον, τὸ μὲν ἐν ἡμῖν θεωρητικὸν διὰ τοιούτων καὶ πολλῶν ἄλλων θειοτέρων ἡ πόλις αὕτη κινεῖν δύναται. τὸ δέ γε ἠθικὸν ὁρῶσιν, ὅτι ἡ περὶ τὰ ἔξω ταῦτα τῶν ἀνδρῶν ἐκείνων σπουδὴ καὶ φιλοτιμία, εἴτ' ἐν οἰκοδομήμασιν, εἴτε ἐν πλούτῳ, εἴτε ἐν ἡγεμονίᾳ, εἴτε ἐν ἀρχαῖς, εἰς τοὔσχατον πάσης εὐδαιμονίας προελθοῦσα, τέλος, ὥσπερ εἰ μηδὲ ἐγεγόνει τὴν ἀρχὴν εἰς τὸ μηδὲν ὄντως ἀπερρύη. ἐγείραντος διὰ τῆς πίστεως ἀπὸ τούτων ἄλλα τοῦ Θεοῦ ἅπερ ἔδοξεν ἂν τῷ πολλῷ καλλίω, καὶ ἃ δυνάμεθα νοῦν ἔχοντες μᾶλλον θαυμάζειν τε καὶ περιπλείονος ποιεῖσθαι. ὑγίαινε.

ΤΕΛΟΣ.

PETRI
LAMBECII
HAMBURGENSIS
ANIMADVERSIONES
IN
GEORGII CODINI,
ET ALTERIUS CUJUSDAM
ANONYMI EXCERPTA,
DE ANTIQUITATIBUS
Constantinopolitanis.

Edit. Parif. pag. 133.

PRÆFATIO AD LECTOREM.

CUM ante biennium Lutetiæ Parisiorum agerem, tantum apud me potuerunt innatum publicæ utilitatis studium, & amicorum cohortationes, & exempla complurium doctissimorum virorum, ut summum nefas esse crederem, inceptæ editioni Corporis historiæ Byzantinæ qualicumque mea opera deesse. Quæsivi igitur, cui potissimum parti laborem impenderem; &, cum fere omnia ab aliis præoccupata esse viderem, tandem mecum cogitare cœpi, operæpretium fore, si hactenus inedita Codini Excerpta de antiquitatibus Constantinopolitanis in publicum producerem. Præterquam enim quod pertineant ad rem, & multum lucis afferant historiæ Byzantinæ, hoc etiam nomine edi merentur, quod a gravissimis hujus & superioris sæculi scriptoribus sæpius laudata, & ad confirmationem dubiarum opinionum adhibita sint. Etenim Joannes Leunclavius in Pandectis Historiæ Turcicæ libri de ædificiis frequentissime mentionem facit: & quæcumque Nicolaus Alemannus notis suis in Procopium ἐκ τῶν ἀνεκδότων πατρίων CP. inseruit, inde desumpta sunt. Item Petrus Gilius ex supradicto libro de ædificiis, & altero de statuis integras transcripsit paginas. Certum quoque est, ineditum illud Chronicon Constantinopolitanum, quod Joannes Meursius in Glossario Græco-barbaro & alibi creberrime citat, nihil aliud fuisse, quam ineditam partem Excerptorum Codini, quæ nunc publicatur. Testantur hoc citata loca, & testabitur integrum Chronicon, siquando in lucem veniet. Similiter etiam per antiqua illa Collectanea θεαμάτων urbis CP. quæ doctissimus Jacobus Sirmondus in notis ad Sidonium Apollinarem citat, & in multis Bibliothecis occurrere ait, hæc alias non evulgata Codini Excerpta intelligenda sunt. Adderem plures coætaneos Auctores, in quorum scriptis ea citantur, nisi longum esset illos enumerare & supervacaneum. Cum itaque jam omnino decrevissem edere Codini illa ἀνέκδοτα, nihil mihi antiquius fuit, quam ut propositum hoc avunculo meo per litteras significarem, qui illud non tantum non improbavit, verum ut cæptum urgerem monuit, at- pag. 134.
que insuper duos mihi submisit codices manu scriptos, quibus continebantur hæc Georgii Codini Opuscula:

Περὶ τῶν πατρίων τῆς Κωνσταντινουπόλεως.
Περὶ τῆς σχηματογραφίας τῆς Κωνσταντινουπόλεως.
Περὶ ἀγαλμάτων, στηλῶν καὶ θεαμάτων.
Περὶ κτισμάτων.
Περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ τῆς ἁγίας Σοφίας.
Περὶ τῶν βασιλευσάντων ἐν τῇ Κωνσταντινουπόλει, μέχρι τῆς παρὰ τῶν Αγαρηνῶν ταύτης ἁλώσεως.
Περὶ τῆς τάξεως τῶν ἀξιωμάτων καὶ ὀφφικίων τοῦ παλατίου, καὶ τῆς μεγάλης ἐκκλησίας.

Horum primum, quintum, septimum & principium tertii a Georgio Dousa, Francisco Junio, & Jacobo Gretsero jampridem edita fuerunt: reliqua vero nunc primum a me publicantur. Ceterum præter duos avunculi mei codices, quorum unum a V. Cl. Peirescio dono acceperat, alterum vero ex Vaticano exemplari curaverat transcribi, quatuor aliis codicibus in adornanda editione usus sum; quorum primum ex Britannico exemplari descriptum dedit mihi eruditissimus Isaacius Vossius, cum adhuc essem Amstelodami;

secundum R. P. Jacobus Sirmondus mecum communicavit; tertium mihi suppeditavit Bibliotheca Regia, permissu Petri & Jacobi Puteanorum fratrum: quartum ipsemet Romæ in Bibliotheca Vallicellana reperi. Hactenus dixi, unde Codini ἐκδόσεις prodierint: sequitur ut paucis agam de meis Animadversionibus. Illas vero tres maxime ob causas conscripsi, nempe ut varias lectiones, quæ sensum Auctoris immutare posse videbantur, aliorum ingeniis dijudicandas proponerem: tum ut loca mendosa, dubia, obscura atque minus recte ab aliis intellecta corrigerem & explicarem, & ubi opus esset, correctionis atque explicationis meæ rationem redderem. Verum utrum ego hoc, quod mihi proposueram, bene præstiterim necne, res ipsa indicabit. Interim tamen, amice Lector, velim tibi persuadeas, sedulo me operam dedisse, ut utilitati tuæ pro viribus meis quam fidelissime servirem, neque præter modum diligens, atque non necessaria multa aut multoties ab aliis antea dicta compilans, patientia tua abuterer. Ad hæc quo facilius mihi ignosceres, sicubi vel in versione vel in Animadversionibus humanitus lapsus essem, omnes omnino occasiones fugi, quæ oblatæ mihi fuerunt ad contradicendum iis, qui ante me aliquid Codini ediderunt, vel secus quam oportebat, intellexerunt; & siquando necessitate coactus sum eorum errores detegere, tantam ea in re adhibui moderationem, ut contra quos scribam obscurum sit: manifestum vero, me non eo hoc fecisse, ut ex alienis erroribus gloriam quærerem, sed ut præcaverem dumtaxat, ne aliis necessarii quidquam ignorantia præteriisse viderer. Reliquum ergo est, ut hosce labores meos benevole excipias, &, siqua in iis deprehendes, quæ minus tibi placebunt, aliquantulum indulgeas juventuti meæ, & nimiæ erga te voluntati, & gravioribus occupationibus, per quas exactissime omnia persequi & recensere non potui. Sic & gratum te præbebis, & alacriorem me reddes ad præstanda majora. Vale. Romæ clc Ioc xLIx. Calendis Maiis.

Edit. Parisf. pag. 135.

DE GEORGII CODINI VITA ET SCRIPTIS BREVIS DISSERTATIO.

GEORGIUM Codinum non sub ultimis tantum Imperatoribus Constantinopolitanis vixisse, sed aliquamdiu etiam superfuisse post ipsam Constantinop. expugnationem, ex ipsius scriptis liquido apparet. Curopalatæ vero cognomen, quod ei ab illis tribuitur, qui librum ejus de Officiis Palatii CP. ediderunt, in illis, quos ego vidi, codicibus manuscriptis non reperi: & facilius multo credam, impositum ei fuisse Curopalatæ cognomen, quia de Officiis Palatii scripsit, quam quod ipse Curopalatæ dignitatem obtinuerit. Cæterum quod ad scripta ejus attinet, non propterea dumtaxat vano quodam præjudicio improbanda sunt, quoniam Codinus ducentis tantum abhinc annis floruit: quippe qui, quæcumque edidit, ex antiquioribus & magis probatis Auctoribus excerpsit & collegit. Nam quod primum inter opuscula ejus locum obtinet, & inscribitur περὶ τῶν πατρίων, sive de originibus CP. ejus major pars verbo tenus descripta est ex Hesychio Milesio: reliqua vero ex Glycæ Annalibus, Chronico Alexandrino, & alio quodam hactenus non edito, cujus auctor est quidam Julius Pollux, antiquo illo, qui Com-

modo Imperatori Onomasticum suum dedicavit, aliquot sæculis recentior. Libri vero de statuis prima pars de simulachris Deorum gentilium, ex Phurnuto desumta est, & ex Joannis Lydi Philadelphiensis libro nondum edito de Mensibus. Unde etiam Svidas hausit eadem . Altera autem pars , quæ tractat περὶ στηλῶν, ϗ θεαμάτων, quod est, ut ego interpretor, de statuis, aliisque rebus spectatu dignis Constantinopoli, ea tota verbotenus descripta est ex antiqui Anonymi auctoris Collectaneis Antiquitatum Constantinopoleos , quæ inscripsit παραστάσεις συντόμους χρονικάς, & compilavit ex Theodoro Lectore, Papia, Eusebio, Socrate, Marcello Lectore , & compluribus aliis. Hæc vero Collectanea nunc primum ex antiquissimo Codice Bibliothecæ Regiæ in lucem prodeunt, qui, ut omnes, quotquot eum viderunt, testantur, ad minimum ante quadringentos annos scriptus fuit. Est autem inter codices ejus Bibliothecæ numero millesimus vigesimus septimus. Quisquis igitur auctor est illorum Collectaneorum, ducentis saltem vel trecentis annis Codino est antiquior. Ex iisdem quoque Collectaneis libri περὶ κτισμάτων satis magna pars excerpta est: cætera desumta sunt ex Joanne Antiocheno, Panodoro Ægyptio, & aliis, qui in eo libro citantur. Totus denique Catalogus Imperatorum Constantinopoleos usque ad imperium primi Alexii Comneni , auctoris est multo antiquioris Codino ; quippe qui eum Catalogum conscripsit sub Manuele Comneno Alexii nepote, ut ipse testatur his verbis: ὁ κύριος Ἀλέξιος ὁ Κομνηνὸς, ὁ πάππος τῦ κραταιῦ ϗ ἁγίυ ἡμῶν βασιλέως, &c. Reliqua porro Catalogi pars a Theodoro Lascare ejus nominis primo usque ad ultimam Constantinopoleos expugnationem , ab ipso Codino superioribus adjecta est, cum ille, ut principio dixi, aliquantulum illi urbis excidio superstes fuerit.

Edit. Paris. pag. 136.

Edit. Paris. pag. 137.

PETRI LAMBECII
HAMBURGENSIS
ANIMADVERSIONES
IN
GEORGII CODINI
EXCERPTA
DE ORIGINIBUS CP.

Numerus, qui in hisce Animadversionibus passim occurit, iisque in margine appositus est, respondet illi, quo textus Græcus est distinctus.

N. 1. THι δεξι χρυσούση) Scribe, sicut legitur apud Hesychium, ἐν πύλαις χρυσέαις. Θυσίαν τοῖς ἐγχωρίοις ἐξιλάσκοντο δαίμοσι) Scribe, θυσίαις τοὺς ἐγχωρίους ἐξιλάσκοντο δαίμονας. Sic sup. N. 3. τοὺς πατρῴους, inquit, ἐξιλασκόμενος δαίμονας.

Μεγαρεῖς ἀπὸ νήσου τῆς τῶν Καταονίας.) Meursius in notis ad Hesychium pro Καταονίας hic legendum censet Κατανίας. Sed profecto, quisquis Cornelii Nepotis, Constantini Porphyrogeniti, & reliqua ab eo citata Geographorum loca inspiciet, primo animadvertet intuitu, Cataoniam, cujus ibi mentio fit, non esse insulam, sed regionem supra Ciliciam in continenti sitam, quæ etiam pro parte Cappadociæ habetur. Vera igitur hujus loci emendatio hæc est: ἀπὸ Νίσου τὸ γένος κατάγοντες, hoc est, *a Niso genus ducentes*. Nisus autem hic intelligitur Pandionis filius, Megarensium Rex, a quo ipsa Megaris Νισαία denominata fuit, ut testatur Stephanus: Νισαία, inquit, ἐπίνειον Μεγαρίδος, ἢ αὐτὴ ἡ Μεγαρίς, ἀπὸ Νίσου τοῦ Πανδίονος. Vide præterea
138. Strabonem principio libri noni, & Scholiasten Theocriti ad ista verba Idyl. 12. Νισαῖοι Μεγαρῆες. Similiter etiam corrigendus & vertendus est Hesychius, apud quem perperam legitur, ἀπὸ νήσου τὸ γένος κατάγοντες, quod interpres vertit *ex insula oriundos*.

2. Προσγραφείσας) Ita restitui, cum mendose antea legeretur προσγράφεσθαι.

Τοῖς δῆλοις) Supple ex Hesychio, τοῖς τυγχάνουσι δῆλοις.

Προδιασπίζουσι) In aliquot codicibus scriptis legitur προθεσπίζοντες: sed videtur vulgata lectio præferenda esse.

Νύμφης Βύζης) Antea editum fuit Βυζίου: apud Hesychium vero legitur Βυζίνης. Attamen ut ratio constet derivationis nominis Byzantis, non dubium est quin scribendum sit Βύζης. Quod autem addit Codinus, Byzantios ad colendam memoriam Nymphæ Byzæ, aquas ejus haurire solitos fuisse, id referendum esse puto ad Boibyzen fluvium, qui itidem Byzantis educator creditus fuit.

3. Ὡς ἄνω ἐπὶ τῆς ἀκμῆς τῆς ἡλικίας ὁ νέος ἦλθον) Hesychius, ὡς ἄνω ἐπὶ τὴν ἀκμὴν τῆς ἡλικίας ὁ νέος προσέβαινε.

Τοῦ δὲ τοῦτον) Scribe, ὑπὸ δὲ τοπαρχοῦντος.

Αὐτὸν ἐπὶ τὸν τοῦ θηρὸς ἆθλον μετεπέμψατο) Perperam antea legebatur, ἀκίνας τὸ τοῦ θηρὸς, &c.

Τὸν ὑπαγέντα ταῦρον) In aliquot codicibus scriptis legitur, τὸν ὑποταγέντα.

Ἱσάμενον ἐντὸς τοῦ τείχους) Scribe, τοὺς ἐντὸς ἱσταμένους τοῦ τείχους; ut referantur hæc verba non ad turrim Herculis, sed ad urbis incolas. Confirmant hanc lectionem Hesychius, & fragmentum historicum de turribus vocalibus Byzantii, quod ex antiquo codice Bibliothecæ Regiæ depromptum huc apposui: Ὅτι Βύζας ὁ τὸ Βυζάντιον κτίσας, τὴν πόλιν ἀνήγειρε τείχεσι μεγάλοις καὶ πύργοις περικυκλώσας ἑπτά. ξένον δέ τινα καὶ ἀξιοθαύμαστον οἱ πύργοι οὗτοι τὴν ἐνέργειαν εἶχον. εἴποτε γὰρ φησὶ σάλπιγξ ἢ φωνή τις ἑτέρα, ἀνθρώπου τυχὸν ἢ ἄλλου ζώου, ἢ καὶ λίθου βολὰς, ἑνὶ δὲ ἑπτὰ τούτων πύργων ἐπεγένετο, ἀλλήλοις εἰς τὸν μετ' αὐτὸν ὁ ἦχος διέβαινε, καθεξῆς δὲ τῷ ἄλλων μέχρι τοῦ ἑχάτου περιτρέμενον, καθαρὸς οἷος ἐξ ἀρχῆς ἐξεφωνεῖτο, εἴτε ἔναρθρον, εἴτε καὶ ἄναρθρον. ἀλλὰ καὶ ὅτε δὲ ἑπτὰ τούτων πύργων, ὁ καὶ τοῦ Ἡρακλέος καλούμενος, τὰ δὲ πολεμίων ἔξωθεν μηνύματα, τῇ εἰς πολιορκίαν τυχὸν τῆς πόλεως καθισταμένων, εὐθὺς ἐποίει τοῖς ἐντὸς καὶ ἀκουστά. Ἵδρυντο δὲ οἱ πύργοι οὗτοι ἐν τῷ τῆς ἀκροπόλεως λόφῳ, ὃς νῦν Κυνηγίον ὀνομάζεται. Cæterum ex hoc fragmento, & antiquissimo codice Palatino Hesychius quoque corrigendus est, apud quem perperam legitur, σάλπιγξι ἢ φωνῇ τινι ἑτέρᾳ, pro σάλπιγξ ἢ φωνή τις ἑτέρα.

Λέγουσι) Scribe, λέγουσιν. 4.

Τύχεον) Scribe τυχαῖον, id est, *Fortunæ fanum*.

Ποσειδῶνος τὸ τέμενος πρὸς τῇ θαλάττῃ ἀνήγειρεν· ἔνθεν νῦν ὁ τοῦ μάρτυρος Μηνᾶ οἶκος διακεκόσμηται) Sensus est, templum Neptuni in eadem urbis regione fuisse, ubi postea S. Menæ Martyri ædes dicata est. Quare frustra objiciunt quidam, Codinum dicere, quod templum S. Menæ antea Jovis fanum fuerit. Nam licet hoc verum sit, non propterea sequitur, alterum falsum esse, cum idem templum eodem tempore & Jovis fanum esse potuerit, & in eadem urbis regione extructum esse, in qua Neptuni fanum situm erat.

Τὸν Αἵμονα) Scribe, τὸν Αἷμον.

Προθυμούμενος, οὐχ ὑπομείνας τὴν ἔφοδον τοῦ βαρβάρου) Post vocem προθυμούμενος interpungendum est: *hucusque enim sermo fuit de Hæmo*. Cætera vero quæ sequuntur, ad Byzantem pertinere, atque ita supplenda esse censeo: οὐχ ὑπομείνας δὲ Βύζας τὴν ἔφοδον τοῦ βαρβάρου, &c. eodem modo corrigendus est Hesychius, apud quem æque mutilus hic locus legitur. 5.

Αἵμονος, πρὸς μόνον ἀγωνίζεται.) dele interpunctionem, & scribe, μόνος πρὸς μόνον.

Τὸν

Edit. Parif. pag. 139. Τὸν Αἵμονα) Scribe τὸν Αἷμον.

Κμίανε δὲ &c.) In aliquot codicibus fcriptis legitur Κμίανε: apud Hefychium vero ἐδρίασε.

Αμφιάρεως δὲ τὰ ἱερεῖα) Apud Hefychium legitur τὰ ὅρμος.

Αρτεμιδὸς δὲ, καὶ Αθηνᾶς πρὸς τὸ τῆς Αφροδίτης ὅρος) In aliquot codicibus fcriptis & apud Hefychium legitur, Αρτέμιδός τε πρὸς τὸ τῆς Θρῄκης ὅρος.

Καὶ πρὸς αὐτὸν διελθών, ὑπολαβὼν τὰ τῆς πόλεως τείχη) Scribe: καὶ πρὸς αὐτὰ διελθὼν τὰ τῆς πόλεως τείχη, ὑπολαβὼν τὰς ἔνδον.

Τῶν πολεμίων) In Codd. Vat. fcriptum inveni πολεμικῶν.

Σοφισαμένα τὸν βάρβαρον τῇ τῶν δρακόντων αυμμαχίᾳ δὲ γὰρ, &c.) Eodem ftatagemate adverfus Eumenem ofus eft Hannibal, ut refert Cornelius Nepos in ejus vita.

Εἰς ἓν τῶν χωρίων) Scribe εἰς ἕν τι χωρίον.

6. Τῆς Βυζαντος αὐταρχίας) In aliquot codicibus legitur ὑπαρχίας.

Ἐκ Μεγάρων) Cod. Vat. ἐκ Μεγαρέων.

7. Διαχειρίσαντο) In Codd. Vat. legitur διεχειρίσαντο, quod idem eft.

Καὶ θανάτου ὅτι ἐπαγόντων) Scribe καὶ θανάτου αἰτίων ἐπαγόντων. Paulo poft pro ἐφαλλομένων, lege ἐπιβαλλομένων, ut refpondeat præcedenti verbo ἀκοντιζόντων.

Τρεῖς ἀνεστήσατο πελαργοὺς) id eft, tres ciconiarum ftatuas magice confecratas, feu τετελεσμένους, quæ ciconias ingredi prohibebant. Huc refpexit Juftinus Martyr, ita loquens: εἰ Θεὸς ἐστὶ δημιουργὸς καὶ δεσπότης τῆς κτίσεως, πῶς τὰ Απολλωνίου τελέσματα ἐν τοῖς μέρεσι τῆς κτίσεως δύνανται; καὶ γὰρ θαλάττης ὁρμάς, καὶ ἀνέμων φοράς, καὶ μυιῶν καὶ θηρίων ἐπιδρομάς, ὡς ὁρῶμεν, κωλύουσι. Vide prolixius fuper hac re differentem Cl. Salmafium in Flavium Vopifcum. Hoc dumtaxat addo, ejufdem generis τελέσματα fuiffe illa σεισμῶν φυλακτήρια, quæ Marinus in pofteriore parte Vitæ Procli hactenus ineditæ, ab ipfo ait erecta fuiffe: item illa ἀγάλματα ὑγιείας περιποιητικὰ καὶ νοσοποιὰ δημιουργήματα, quorum meminit Pfellus in libro ἀνεκδότῳ, cui titulus eft, τίνα περὶ δαιμόνων δοξάζουσιν Ἕλληνες.

Πρὸς τὰς τῶν ὑδάτων δεξαμένας) Scribe, δεξαμενὰς, id eft, cifternas. Similiter corrigendus & vertendus eft Hefychius. Cæterum ad hunc Codini locum illuftrandum pertinet fragmentum hiftoricum, quod ex antiquo Cod. Biblioth. Regiæ excerptum hic fubjunxi: ὅτι ἐνοχλουμένων ὕστερον τῶν Βυζαντίων ὑπὸ τῶν ὄφεων, διαφθειρόντων αὐτοῖς τὰ ὕδατα, ὁ Τυανεὺς Απολλώνιος ἀπὸ λίθου ξεστοῦ τρεῖς ἀνέστησε πελαργοὺς, οἳ τινες ἐκ τούτων ἐπιφανείας τῇ πόλει πελαργοῖς. ἐκεῖνοι γὰρ πειγοντες τοὺς ὄφεις πολλοὺς ἀπέκτειζον νεκροὺς κατὰ τῶν δεξαμενῶν.

Ἐν τῷ προσώπῳ ὁρῶντας ἀλλήλους) Scribe, ἀντιπροσώπους ὁρῶντας ἀλλήλους.

8. Καὶ νεφέλας πρὸς τὴν ἀρκτῴους ἐπαγόντος τόπους,) Scribe, καὶ νεφέλας πυρὸς τοῖς ἀρκτῴοις ἐπαγόντος τόποις. νεφέλας πυρὸς autem vocat nubes ardentes & lucidas. Simili loquendi formula utitur Svidas in v. Μαξέντιος: εἶδεν, inquit, ἐν τῷ οὐρανῷ στῦλον πυρός.

Οὐ δεῖ χαίρειν. &c.) Ob eamdem caufam aliquot Byzantiorum numifmatibus figuram lunæ infculptam videmus, cum hac infcriptione: ΒΥΖΑΝΤΙΝΗ ΣΩΤΕΙΡΑ.

Πρὸς αυμμαχίαν) Scribe, ut habetur apud Hefychium, πρὸς ναυμαχίαν.

9. Καὶ κίονα, ἐν ᾧ δάμαλις δάκνεται ἐκ ξέστου λίθου) Hujus ftatuæ meminit antiquus ineditus Chronographus, qui in Bibliotheca Regia adfervatur, his verbis: γίνεται δὲ τῷ Ἰνάχῳ θυγατὴρ ὄνομα Ἰώ. ταύτης ἐπώνυμος ὁ Βόσπορος ἐκλήθη τοῦ Βυζαντίου. ἀφ' οὗ ἐν κίονι ὄνομα δαμάλεως ἐν κίονι πρὸς τὸ ἀντίπεραν τῆς ἀκροπόλεως Βυζαντίου.

Τιμάσιος ἀνὴρ τῶν ἐν Αργείοις γραφέντων) Scribe γραφέντων. Senfus eft, Timafium non natione, fed jure tantum municipali Argivum fuiffe. Ejufmodi cives Latine *adfcriptitii* dicuntur, quibus opponuntur *nativi*. Egregius hac de re Ciceronis locus extat in orat. pro L. Cornelio Balbo.

pag. 140. *In Græcis*, inquit, *civitatibus*, *videmus Athenis Rhodios*, *Lacedæmonios*, *cæterofque undique adfcribi*, *multarumque effe eofdem homines civitatum*. Idem Archiam poetam adfcriptitium civem vocat, & Heracleæ adfcriptum fuiffe ait. Hoc loco igitur fimplex γράφειν idem eft atque πολιτογράφειν, feu *in civitatem adfcribere*. Hinc quoque corrigenda eft Latina verfio Hefychii: fruftra enim ejus interpres antiquam & genuinam Codicis Palatini lectionem follicitat, & pro γραφέντων legendum cenfet τραφέντων. Idem ibidem annotat, Timefium hunc fuiffe patrem Pefcenii Nigri, qui cum Severo de Imperio dimicavit. Sed, præterquam quod ex Ælio Spartiano & Dione conftat, Pefcenium Nigrum Italum fuiffe, & patrem habuiffe Annium Fufcum, matrem vero Lampridiam, vel fola diftantia temporum, quibus vixerunt, errori detegendo fufficit. Quippe quia alter Græcia Romanorum confulum armis nondum fubjugata floruit, alter autem aliquot centum annis poft Severo Imperatori fuit coætaneus.

Πρὸς τῷ λεγομένῳ Εφεσιάτῃ) In uno Codice Vaticano legitur, πρὸς τὸν λεγόμενον Εφεσιάτην: in alio Εφεσιάτην. Mihi dubium non eft quin locus nominatus Εφεσιάτης, vel Εφεσιάτος idem fit atque portas Ephefiorum, cujus meminit Dionyfius Byzantius his verbis, εἶτα ἄρα τῶν γνωρίμων εἶναι. *His*, inquit, *ante commemoratis locis proximus fuccedit Phofphorus locus*, *qui vel a Diana*, *vel a vicina antiqua Pharo cognomen traxit*. *Huic adjunctum & continens longum littus vocatum Ephefiorum eft portus*, *a multis navibus Ephefiorum huc appulfis*. Sed proculdubio ibi fcribendum eft: *Huic adjunctum eft continens longum littus*, *& portus vocatus Ephefiorum*, &c. Verifimile enim eft, Dionyfii hæc verba in hunc modum Græce concepta fuiffe: ἔπειτα προσεχὴς τῷ ὄντι καὶ μακρὸς αἰγιαλὸς, καὶ ὁ λιμὴν ὁ καλούμενος Εφεσιάτης, vel τῶν Εφεσίων, &c. Similiter fere Strabo de littore Latino loquens, ἔπειτα, ait, προσεχὴς τῷ ὄντι καὶ ἀλίμενος, πρὸς αὐτῷ μόνον τῷ Κιρκαίῳ λιμένιον ἔχων. Item lib. 4. ubi agit de ora Liguftica, & paffim alibi. Hoc præterea notandum eft, portum antiquitus nuncupatum Εφεσιάτην, hodieque paululum immutato nomine Αρσαΐτην vocari.

Ἐνθ' ἰχθύς ἔλαφός τε νομὸν βόσκονται ἐν αὐτόν) Ultimus hic oraculi verfus continet fubobfcuram periphrafin finus nuncupati Cornu. Nam cervus denotat formam ejus cornu cervino fimilem, quoniam in multos finus quafi in ramos finditur. Per pifcem vero fignificatur Pelamis, quæ ob vim fluctus intro compellentis & anguftiam finuum numerofe illic capitur. Utrumque confirmat Strabo Geographiæ lib. 7. his verbis: ἔστι δὲ τὸ κέρας προσεχὲς τῷ Βυζαντίων τείχει, κόλπος ἀνέχων ὡς πρὸς δύσιν ἐπὶ σταδίους ἑξήκοντα, ἐοικὼς ἐλάφου κέρατι, εἰς γὰρ πλείστους σχίζεται κόλπους, ὡς ἂν κλάδους τινάς, εἰς οὓς ἐμπίπτουσα ἡ πηλαμὺς ἁλίσκεται ῥᾳδίως, διά τε τὸ πλῆθος αὐτῆς, καὶ τὴν βίαν τοῦ συνελαύνοντος ῥοῦ, καὶ τὴν στενότητα τῶν κόλπων, ὥστε καὶ χερσὶν ἁλίσκεσθαι, διὰ τὴν στενοχωρίαν, &c. Pluribus eruditiffime de hac re difputat V. Cl. Joannes Triftanus in explicatione nummi Byzantii, cufi in honorem Sabinæ uxoris Hadriani Imperatoris, in quo vifuntur duæ pelamides cum infcriptione ΒΥΖΑΝΤΙΩΝ. ΕΠΙ. Δ... ΡΟΣ. ΤΟ. Β Ejufdem generis nummum vidi Romæ apud virum illuftrem Francifcum Gotofredum, in cujus una parte vifitur Delphin medius inter duas pelamides, cum infcriptione ΒΥΖΑΝΤΙΩΝ: ab altera vero effigies mulieris cum infcriptione ΙΟΥΛΙΑ. ΜΑΙΚΑ. ΑΥΓ.

Κομίδης στρατηγήσας) Cod. Vat. στρατηγός.

Κίονι κοσμήσας) Apud Hefychium legitur, εἰς ἓνι κοσμήσας, &c. In Codice Bibliothecæ Vallicellanæ fcriptum reperi: ἐνθάδε κοσμήσας, &c. 10.

Αὐτοὶ δὲ τοῦ τυραννήσαντος, &c.) Ita hunc locum reftitui ex Hefychio & Codicibus fcriptis, cum perperam antea legeretur: αὐτοὶ τότε τοῦ τυραννήσαντος τῶν Εώων Νίγρο προτιμήσαντες ἐλπίδος, &c. Paulo poft pro ἐπάχθησαν, fcribe προσετάχθησαν.

Edit. Paris. pag. 141. 11. Ἔνθα δὲ ἐξ ταῖς Διομήδους δαμάσαντι ἵππους, Ζεύξιππον τὸ τόπον ὠνόμασαν) Scribe ἔνθα δὲ αὐτοὺς φασὶ τὰς Διομήδους δαμάσαντα ἵππους, Ζεύξιππον τὸ τόπον ὀνομάσαι. Dicuntur autem hæc per Parenthesin. Sensus est, thermas Zeuxippi ita nominatas fuisse, διὰ τὸ τὸν Ηρακλέα ἐκεῖσε ζεῦξαι τοὺς ἵππους τοῦ Διομήδους ὑφ' ἅρμα. Eusebius in Canone Chronico eas ita appellatas fuisse ait, ad conservandam memoriam Zeuxippi ultimi Sicyoniorum Regis.

Κατὰ τὸν τοῦ Διὸς ἱππίου βωμόν) Per Jovem equestrem credo hic intelligi Neptunum, qui etiam Ζεὺς θαλάσσιος nuncupatus fuit.

Ἔνθα καὶ νῦν οἱ καμπτῆρες δηλοῦσι τὰ τῶν ἐφόρων γνωρίσματα, διὰ τῶν ἐπικειμένων ὠῶν τοῖς χαλκοῖς ὀβελίσκοις) Hesychii interpres pro ἐφόρων legendum esse monet ἐφόδων, eamque secutus correctionem hæc ita Latine vertit: *Ubi etiamnum curvaturæ ascensuum indicia exhibent, per superiora, quæ æneis obeliscis incumbant*. Sed vertendum est, absque ulla Græci textus mutatione: *Ubi etiamnum metæ Deorum præsidum exhibent indicia, ova nimirum æneis obeliscis imposita*. Nam per ἐφόρους, hoc est, præsides & inspectores intelliguntur Dioscuri, quibus dicatum fuisse Constantinopolitanum Hippodromum ipse Hesychius paulo ante affirmat. Ideoque subjungit, ad sua usque tempora castrorum ibi insignia permansisse, ova nimirum supra metas æneis obeliscis imposita. Cæterum post verba τοῖς χαλκοῖς ὀβελίσκοις, adde ex Hesychio, quæ apud Codinum perperam omissa sunt: ἐπὶ δὲ τούτοις καὶ στρατιωτικὰ τέλη προσένειμε, id est *præterea quoque urbi cohortes militum assignavit*. στρατιωτικὰ τέλη hic significant τὰ στρατιωτικὰ τάγματα, ut apud Homerum Illiad. κ'.

Δόρπον ἔπειθ' ἕλοντο κατὰ στρατὸν ἐν τελέεσσι.

Similiter exponenda sunt illa verba apud Hesychium, cujus interpres longe diverso sensu ita vertit: *& assignavit in hanc rem impensas e militari ærario*.

Καὶ μέχρι μὲν οὖν περιῆν ὁ Σεβῆρος, ἀπὸ τοῦ τούτου παιδὸς Ἀντωνίνου, Ἀντωνινία ἡ πόλις κατωνομάζετο) Adde ex Hesychio quæ hic omissa sunt. ἐπειδὴ δὲ τοῖς θείοις τῶν Βασιλέων ἀπεδόθη, αὖθις τὸ Βυζάντιον ὠνομάζετο, id est, *postquam autem in numerum divorum relatus est* (sc. Severus) *iterum Byzantii nomen urbs accepit*. Sed apud Hesychium pro ἀπεδόθη necessario scribendum est ἀπεδόθησαν, ut referatur ad utrumque, Severum nempe & Antoninum Caracallam: quippe quoniam ea quæ præcedunt, ita sunt concepta, καὶ μέχρι μὲν οὖν περιῆν Σεβῆρος, καὶ ὁ τούτου παῖς Ἀντωνῖνος, &c. Corrigenda igitur est hoc modo Hesychii versio: *Et quidem quamdiu Severus superstes fuit, ejusque filius Antoninus, urbs appellata fuit Antoninia: postquam vero divis Imperatoribus annumerati fuerunt, iterum Byzantii nomen accepit*. Præterea notandum hic occurrit, verba, ἐπειδὴ δὲ τοῖς θείοις τῶν Βασιλέων ἀπεδόθη, idem valere ac si dixisset, μετὰ δὲ τὸν θάνατον αὐτοῦ, sive, *post ejus mortem*. *Nam*, ut ait Tacitus, in fine libri decimi quinti Annal. *Deum honor Principi non ante habetur, quam agere inter homines desierit*. Simili mortis periphrasi utitur Solinus, ubi ait, *Angitiam salubri scientia adversus morbos resistentem, cum inter homines vivere desiisset, deum habitam fuisse*. Ita enim ibi restituendum est ex antiquissimo Codice R. P. Sirmondi, pro eo, quod vulgo legitur, *cum dedisset hominum vivere*. Sic S. Augustinus lib. 2. de civit. Dei cap. 5. *Nec ullo modo*, inquit, *crederet verecundiam laudabilis fœminæ ita in contrarium divinitate mutari, ut honoribus eam talibus advocarent cultores sui, qualibus conviciis in quempiam jaculatis, cum inter homines viveret, aures clauderet seseque subtraheret*. Item Seneca Apotheosin Claudii enarrans, *Et ille quidem*, ait, *animam ebullit, & ex desiit vivere videri*; atque paulo post subjungit: *Ultima vox ejus hæc inter homines audita est*, &c. Etiam Cicero lib. 1. Tuscul. *Abiit*, inquit, *ad deos Hercules, numquam abiisset, nisi cum inter homines esset, eam sibi viam munivisset*.

Ὀγδοήκοντα πέντε) In uno Codice Vaticano legitur πεντήκοντα πέντε.

Ἀλλ' ἐναντιώτερος ὁ λόγος, &c.) Quæ hucusque Codinus narravit de originibus Byzantii, eadem ad verbum sunt, quæ in antiquissimo Codice Palatino Bibliothecæ Vaticanæ habentur cum hoc titulo, ΠΑΤΡΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΚΑΤΑ ΗΣΥΧΙΟΝ ΙΛΛΟΥΣΤΡΙΟΝ. pag. 141.

Ἀπελθὼν ἐν Ῥώμῃ Σεβῆρος, &c.) Totum hoc, quod sequitur, de reconciliatione Severi & Nigri, futile est & nugatorium. Confundit enim Severum Imperatorem, cum Severo Aureliano, quem Ælius Spartianus refert, filias suas Nigri filiis despondisse: *Sed deceptus est*, inquit, (sc. Niger) *consiliis Severi Aureliani, qui filias suas ejus filiis despondens, persistere eum fecit in imperio*.

Νίγρου τοῦ υἱοῦ Τιμασίου) Pescennium Nigrum Timesii filium fuisse, supra duplici argumento refutavi, scilicet distantia temporum, quibus vixerunt, & auctoritate Spartiani & Dionis, qui ipsum Italum fuisse ajunt, & patrem Annium Fuscum, matrem Lampridiam habuisse. Sed cum omnia, quæ hic a Codino de Pescennio Nigro & Severo narrantur, futilitatis summæque levitatis plena sint, inde satis absque alio argumento liquet, quam fidem mereantur, quæ de Timasio Nigri patre, numquam alibi lecta, hoc loco refert.

Ἐπεὶ δὲ οἱ Βυζάντιοι ἀπὸ Μακεδόνων κακῶς ἐπολιορκοῦντο) Videtur loqui de legionibus Macedonicis, quibus Severus Imperator ad Byzantium expugnandum usus est.

Ἐπὶ τῆς τραπέζης) In uno Codice Vaticano legitur: ἐπὶ τῆς κατὰ μοῖραν τραπέζης, ἤγουν τῆς ἀβζυγίας.

Φόρτων) In uno Codice Vaticano legitur φόρτων: forte legendum est Φρόντων, id est, Fronto. 15.

Ἀγωνικὸς ἀγὼν) Melius in Codice Vaticano legitur ἀγωνιστικός.

Τότε Σεβῆρος πρὸς θεραπείαν τοῦ συμπενθεροῦ αὐτοῦ Νίγρου) Iterum confundit Severum Aurelianum cum Severo Imperatore.

Ἧπτε δὲ τὸ τοιοῦτον λουτρὸν μετὰ τοῦ μηδικοῦ πυρὸς) Per ignem Medium credo intelligendum Naphtam, quam Nicander vocat τὸ Μηδείης Κολχίδος ἐχθόμενον πῦρ, quia sponsam Jasonis hoc igne a Medea crematam ferunt, teste Plinio, lib. 2. cap. 105. Alias Græci appellant ἔλαιον Μηδείας, ut refert Procopius lib. 4. Gotthicorum ἀγγεῖα θεῖα τε καὶ ἀσφάλτου ἐμπλησάμενοι, καὶ φαρμάκου, ὅπερ Μῆδοι μὲν Νάφθαν καλοῦσιν, Ἕλληνες δὲ Μηδείας ἔλαιον. Sed forte apud Procopium pro Μηδείας scriptum fuit Μηδίας, id est: Mediæ regionis. Ita Ammianus Marcellinus lib. 23. & Solinus cap. 21. Oleum Medicum nuncupant, & vetus Nicandri Scholiastes φάρμακον μηδικόν, & noster Auctor hoc loco μηδικὸν πῦρ. De usu autem Naphtæ seu ignis Medici in succendendis balneis nihil alibi legi. Cæterum quod Meursius ad hunc locum observat de igne Pomaico, cujus mentio fit in Historia Miscella, nullius plane momenti est. Ibi enim non Pomaicus, sed Romaicus legendum est. Verba Historiæ Miscellæ lib. 21. hæc sunt: *Porro vernali tempore venit Suphian, & comperta Romaici ignis efficacia, transcurrit in Bithyniam*. Ibidem paulo post: *Post paululum venit & Gizid: similiter & ipse cum eadem didicisset de humido igne, applicuit penes Saturon*, &c. Ubi nota qui primo vocatur ignis Romaicus, seu Ῥωμαϊκός, postea appellari ignem humidum. Est ergo Romaicus, sive Romanus ignis, idem qui Græcis dicitur πῦρ ὑγρόν, seu ignis liquidus, quoniam per syphones emittitur. Alias ignis Græcus nuncupatur, ut apud Luitprandum de rebus Imp. lib. 3. cap. 6. In antiquo Chronico manuscripto Cavensi vocatur ignis marinus: Anno Domini DCLXVIIII. indict. XII. Constantinus filius Constantis superioris. Hujus tempore, anno quinto, ignis adinventus est marinus a Callinico

Architecto, qui e Syriæ civitate Heliopoli profugus ad Romanos venit. Hic corrigendus est Constantinus Porphyrogenitus de administr. Imp. cap. 48. ubi agit de igne Græco: ἴστεον, inquit,
Edit. Paris. pag. 143. ὅτι ἐπὶ Κωνσταντίνου υἱοῦ Κωνσταντίνου τοῦ καὶ πωγωνάτου καλουμένου, Καλλίνικός τις ἀπὸ Ἡλίου πόλεως Ῥωμαίοις προσφυγὼν, τὸ διὰ τῶν σιφώνων ἐκφερόμενον πῦρ ὑγρὸν κατεσκεύασε, &c. Pro υἱοῦ Κωνσταντίνου lege υἱοῦ Κώνσταντος, & quæ sequuntur τοῦ καὶ πωγωνάτου refert ad Constantinum, cujus Constans, qui in Sicilia obiit, pater fuit, ut testantur Zonaras, Cedrenus & alii Historici. Postea pro ἀπὸ Ἡλίου πόλεως, quod Interpres vertit, *ab urbe Ilio*, scriba ἀπὸ Ἡλιουπόλεως, id est, *Heliopoli*.

23. Διότι πάνυ κρημνώδης ἦν ὁ τόπος) id est, *quoniam locus valde præruptus erat*. In uno Codice Vaticano perperam legitur σκυμνώδης, quam lectionem secutus inferius, τόπον σκυμνώδη vertetat, locum catulis leonum destinatum.

Ὅτι Γάλλοι πορθοῦσι τὴν Ῥώμην, καὶ παραγενόμενοι ἐν αὐτῇ. ὁ Σῦτα καὶ πολλά τινα, &c.) Facta interpunctione post vocem Ῥώμην, cætera ex Codice Vaticano ita legenda sunt: ἀκούσας τοῦτο ὁ Σύλλας παρεγένετο ἐν αὐτῇ ὁ Σῦτα, &c.

Παρελθὸν δὲ χρόνου, &c.) Supple ex Cod. Vaticano, μετὰ δὲ τὸ θάνατον αὐτοῦ παρελθὸν χρόνου, &c.

Ἀπὸ Αὐγούστου Καίσαρος μοναρχίας, τῆς πρεσβυτέρας Ῥώμης, καὶ, &c.) ita ex Codicibus manuscriptis & Hesychio hunc locum restitui. Antea perperam legebatur: ἀπὸ Αὐγούστου Καίσαρος, ἡ μοναρχία διῆλθεν τῇ πρεσβυτέρᾳ Ῥώμῃ, καὶ, &c.

Ἀριθμούμενα, Κωνσταντῖνος ὁ Κωνσταντίου παῖς, &c.) Ita hæc continua serie legenda sunt. In superioribus editionibus post vocem ἀριθμούμενα interpunctum erat, novo subsequente titulo: ἀρχὴ τοῦ μεγάλου Κωνσταντίνου. Cætera ita legebantur: Κωνσταντῖνος ὁ Κωνσταντίου παῖς, &c. Sed antequam ulterius progrediar, libet hic adscribere fragmentum ex incerti cujusdam Julii Pollucis Chronico hactenus inedito, cujus collatione, quæ deinceps Codinus narrat de Constantino Magno & instauratione Byzantii, corrigi & illustrari possunt. Ὁ δὲ βασιλεὺς Κωνσταντῖνος ἤρξατο κτίζειν πόλιν εἰς ὄνομα ἴδιον ἐν τῷ πεδίῳ, τὸ πρὸς τοῦ Ἰλίου ὑπὲρ τὸν Αἴαντος τάφον. ὅθεν φασὶν τὸν ναύσταθμον ἐσχηκέναι τοὺς ἐπὶ Τροίαν στρατεύσαντας Ἕλληνας, θέλων τὴν βασιλείαν Ῥώμης μετατιθέναι ἐπ' αὐτήν. Θεὸς δὲ κατ' ὄναρ τῷ βασιλεῖ ἐκέλευσεν ἐν τῷ Βυζαντίῳ κτίσαι τὴν νῦν λεγομένην Κωνσταντινούπολιν. ὅτε καὶ τὸ πρῶτον τεῖχος τῆς αὐτῆς πόλεως ἀνεκαίνισε τοῦ Βύζαντος, προσθεὶς ἄλλο διάστημα πολὺ τεῖχος νέον, καὶ ἀναλαβὼν τῷ παλαιῷ τείχει τῆς αὐτῆς πόλεως· ἀνεπλήρωσε καὶ τὸ ἱππικὸν, καὶ κοσμήσας αὐτὸ χαλκουργήμασι καὶ πάσῃ ἀρετῇ, ποιήσας ἐν αὐτῷ καὶ κάθισμα θεωρίου βασιλικοῦ, καθ' ὁμοιότητα τοῦ ἐν Ῥώμῃ ὄντος. ἔκτισε δὲ καὶ παλάτιον μέγα καὶ διάφορον, καθ' ὁμοιότητα αὐτοῦ τοῦ ἐν Ῥώμῃ ὄντος πλησίον τοῦ ἱππικοῦ. ἔκτισε δὲ καὶ φόρον μέγαν καὶ διάφορον πάνυ, στήσας ἐν μέσῳ κίονα ὁλοπόρφυρον ἄξιον θαύματος, καὶ ἐπάνω τοῦ αὐτοῦ κίονος ἔστησεν ἑαυτοῦ ἀνδριάντα, ἔχοντα ἐν τῇ αὐτοῦ κεφαλῇ ἀκτῖνας ζ'. ὅπερ χαλκούργημα ἤγαγεν ἐκ τῆς Ἡλιουπόλεως οὔσης τῆς Φρυγίας. ἀγαγὼν δὲ καὶ τὸ παλλάδιον ξόανον ἀπὸ Ῥώμης λάθρᾳ, ἔθηκεν εἰς τὸν αὐτὸν φόρον ὑποκάτω τοῦ κίονος τῆς στήλης αὐτοῦ. ἔκτισε δὲ καὶ δύο ἐμβόλους ἀπὸ τῆς εἰσόδου τοῦ παλατίου ἕως τοῦ φόρου διαφόρους, κατακοσμημένους ἀνδριᾶσι καὶ μαρμάροις, καλέσας τὸν τόπον τῶν ἐμβόλων ῥήγια· ποιήσας ἐγγὺς καὶ βασιλικὴν, ἔχουσαν κόγχην καὶ ἔξω μεγάλους κίονας καὶ ἀνδριάντας, ἥντινα ἐκάλεσε Σενάτον, κατεναντίον στήσας τῇ ἰδίᾳ μητρὶ Ἑλένῃ στήλην Αὐγούστης ἐπ' αὐτοῖς. ὁμοίως δὲ ἀνεπλήρωσε καὶ τὸ λεγόμενον Ζεύξιππον δημόσιον λουτρὸν, κοσμήσας κίοσι καὶ μαρμάροις ποικίλοις, καὶ χαλκουργήμασιν. ἦν γὰρ αὐτὸ ἀπλήρωτον, ἀρχθὲν πρώην ὑπὸ Σευήρου βασιλέως· καὶ ὅτε πάντα ἀνεπλήρωσεν, ἐπετέλεσεν ἱππικὸν, ἐν πρώτοις θεωρήσας αὐτὸ, φορέσας ἐν τῇ αὐτοῦ κορυφῇ διάδημα διὰ μαργαριτῶν, καὶ λίθων τιμίων, βουλόμενος πληρῶσαι τὴν προφητικὴν φωνὴν τὴν λέγουσαν. Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. οὐδεὶς γὰρ τῶν πρὸ αὐτοῦ βασιλέων τοιοῦτόν τι ποτὲ ἐφόρεσε. καὶ ἐπετέλεσεν ἑορτὴν μεγάλην μηνὶ Μαΐῳ, τῷ καὶ ἀρτεμισίῳ ια'. ἔτους κατὰ Ἀντιοχεῖς τῆς μεγάλης χρηματιζούσης του. καλέσας τῇ αὐτῇ ἡμέρᾳ ἐπιτελεῖσθαι τὴν ἑορτὴν τῶν γενεθλίων τῆς πόλεως αὐτοῦ, ἐν δὲ τῇ συμπληρώσει τῆς

ὑπατείας αὐτοῦ, ἤρξατο ἐν Κωνσταντινουπόλει χαρίσματα τοῖς Βυζαντίοις, καλέσας συντόμως ἄρτους δημοσίους πολιτικοὺς διαφημίζοντας, οὓς τινας ἄρτους ἐκάλεσε παλατίνους, διὰ τὸ ἐκ τοῦ παλατίου ῥογεύεσθαι τοὺς αὐτοὺς ἄρτους. ἐκάστου ἄρτου ἀφορίσας οἶνον, κρέα, ξύλα. ἀφορίσας πρὸς τὸ ὑπὲρ αὐτῶν ἐκ τῶν ἰδίων, καὶ καλέσας αὐτοὺς παλατινούς. pag. 144.
Ὀλίγους δὲ ὁρῶν τοὺς οἰκήτορας, ὡς ἐν μεγέθει τοσούτῳ πόλεως, ἀπό τε Ῥώμης τοὺς ἀξιολόγους κατὰ γένος ἐπιλεξάμενος, ἀπό τε ἑτέρων τόπων, καὶ οἴκους μεγάλους αὐτοῖς οἰκοδομήσας καὶ χρηματίσας, οἰκῆσαι τὴν πόλιν ἐποίησεν. ἔκτισε δὲ τὸν ναὸν τῆς ἁγίας Εἰρήνης, καὶ τῶν ἁγίων Ἀποστόλων, καὶ τοῦ ἁγίου Μωκίου, καὶ τοῦ Ἀρχαγγέλου, τοῦ ἐν τῷ Ἀνάπλῳ. ἐν δὲ τῷ ναῷ τοῦ ἀνάπλου παράδοξα σημεῖα, καὶ ἰάσεις, καὶ ἕως ὧδε. κατέλυσε δὲ καὶ τοὺς τρεῖς ναοὺς, τοὺς ὄντας ἐν τῇ λεγομένῃ ἀκροπόλει, τοῦτο Ἡλίου, καὶ Ἀρτέμιδος, καὶ Ἀφροδίτης, καὶ ἐκέλευσε τὸν λοιπὸν ἀχρηματίστους τυγχάνειν αὐτούς.

Κατὰ τοὺς Τρουλλανοὺς ἐμβόλους) In Codicibus Vaticanis Codini, & Codice Palatino Hesychii, pro Τρωαδησίους, legitur Τρωαδησίοις. Τρωαδήσιος autem formatum est Latina terminatione in *ensis*, ut Θρακήσιος, *Thracensis*, Ναρβωνήσιος, *Narbunensis*, Λουγδουνήσιος, *Lugdunensis*, Κιρκήσιος, *Circensis*, &c. Intelligunt igitur Codinus & Hesychius per τοὺς Τρωαδησίους ἐμβόλους, nihil aliud quam *Troadenses porticus*, quarum meminit Auctor antiquus in descriptione regionis duodecimæ. Hinc patet, quantum errent, qui Τρωαδησίους ἐμβόλους hic vertendum esse censent *Trojana rostra*. Equidem antiquitus ἔμβολος significabat *rostrum navis*: recentioribus vero Græcis ἔμβολοι dicuntur *porticus*, sive *tecta ambulacra*, quo se populus ad caloris incommoda & imbres repentinos arcendos recipiebant. Ita sæpe apud Scriptores historiæ Constantinopolitanæ mentio fit, τοῦ δημοσίου ἐμβόλου, τῶν δύο ἐμβόλων τοῦ φόρου, τοῦ ἐμβόλου τῶν χαλκοπρατείων, τῶν ἐμβόλων τοῦ Εὐβούλου καὶ Δομνίνου, &c. Ad hanc significationem vocis ἔμβολος videtur respexisse Etymologici magni Auctor, qui originem ejus derivat παρὰ τὸ τὸν λαὸν ἐμβαίνειν. Apud Latinos quoque hæc vox in eadem significatione occurrit, ut testatur Isidorus lib. 15. cap. 2. *Imboli, vel quia sub volumine sunt, vel quia sub his ambulant: sunt enim porticus hinc inde platearum.* Idem in Glossis: *Imbulus, ab ambulando, ambulatorium*. Sed non advertit, Latinum vocabulum *imbulus* a Græco ἔμβολος originem & significationem accepisse.

